# ΕΝΩΧ

# ENOCH

THE GREEK TEXT OF THE FIRST BOOK OF ENOCH
WITH 520 TEXTUAL VARIANT NOTES
CONTAINING THE COMPLETE COLLATION OF
CODEX PANOPOLITANUS

Bibles.org.uk, London.

All rights reserved. Copyright © 2002–2007 Bibles.org.uk
Typeset with pdfLaTeX under Linux 3 October, 2007
Permission for *personal* use only is hereby given.

# Introduction

The Greek text of the First Book of Enoch the prophet which is printed in this volume is based on the 3rd Edition of the manual Cambridge Septuagint edited by H.B. Swete and published in 1905. It includes the complete collation of Codex Panopolitanus (P) and other extant sources: Codex Vaticanus Gr. 1809 and Chronography of Georgius Syncellus.

This book has been quoted in the Epistle of Jude and was kicked out of the Bible by the iniquitous "church" in order to control the masses by hiding the vital information about the fallen angels.

*Tigran Aivazian*
*London, England.*

# ΕΝΩΧ

Λόγος εὐλογίας ἐνὼχ καθὼς εὐλόγησεν ἐκλεκτοὺς δικαίους **1**
οἵτινες ἔσονται εἰς ἡμέραν ἀνάγκης ἐξᾶραι πάντας τοὺς
ἐχθρούς καὶ σωθήσονται δίκαιοι ⋄ [2] καὶ ἀναλαβὼν τὴν πα- 2
ραβολὴν αὐτοῦ εἶπεν ἐνὼχ ἄνθρωπος δίκαιός ἐστιν ὅρασις ἐκ θε-
οῦ αὐτῷ ἀνεῳγμένη ἦν ἔχων τὴν ὅρασιν τοῦ ἁγίου καὶ τοῦ οὐρα-
νοῦ ἔδειξέν μοι καὶ ἁγιολόγων ἁγίων ἤκουσα ἐγὼ καὶ ὡς ἤκουσα
παρ᾽ αὐτῶν πάντα καὶ ἔγνων ἐγὼ θεωρῶν καὶ οὐκ εἰς τὴν νῦν
γενεὰν διενοούμην ἀλλὰ ἐπὶ πόρρω οὖσαν ἐγὼ λαλῶ ⋄ [3] καὶ περὶ 3
τῶν ἐκλεκτῶν νῦν λέγω καὶ περὶ αὐτῶν ἀνέλαβον τὴν παραβολήν
μου καὶ ἐξελεύσεται ὁ ἅγιός μου ὁ μέγας ἐκ τῆς κατοικήσεως
αὐτοῦ ⋄ [4] καὶ ὁ θεὸς τοῦ αἰῶνος ἐπὶ γῆν πατήσει ἐπὶ τὸ σεινὰ ὄρος 4
καὶ φανήσεται ἐκ τῆς παρεμβολῆς αὐτοῦ καὶ φανήσεται ἐν τῇ
δυνάμει τῆς ἰσχύος αὐτοῦ ἀπὸ τοῦ οὐρανοῦ τῶν οὐρανῶν ⋄ [5] καὶ 5
φοβηθήσονται πάντες καὶ πιστεύσουσιν οἱ ἐγρήγοροι καὶ ᾄσουσιν
ἀπόκρυφα ἐν πᾶσιν τοῖς ἄκροις τῆς [γῆς] καὶ σεισθήσονται πάντα
τὰ ἄκρα τῆς γῆς καὶ λήμψεται αὐτοὺς τρόμος καὶ φόβος μέγας
μέχρι τῶν περάτων τῆς γῆς ⋄ [6] καὶ σεισθήσονται καὶ πεσοῦνται καὶ 6
διαλυθήσονται ὄρη ὑψηλὰ καὶ ταπεινωθήσονται βουνοὶ ὑψηλοὶ
τοῦ διαρυῆναι ὄρη καὶ τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυ-
ρὸς ἐν φλογὶ ⋄ [7] καὶ διασχισθήσεται ἡ γῆ σχίσμα ῥαγάδει καὶ 7
πάντα ὅσα ἐστὶν ἐπὶ τῆς γῆς ἀπολεῖται καὶ κρίσις ἔσται κατὰ
πάντων ⋄ [8] καὶ μετὰ τῶν δικαίων τὴν εἰρήνην ποιήσει καὶ ἐπὶ τοὺς 8
ἐκλεκτοὺς ἔσται συντήρησις καὶ εἰρήνη καὶ ἐπ᾽ αὐτοὺς γενήσεται
ἔλεος καὶ ἔσονται πάντες τοῦ θεοῦ καὶ τὴν εὐδοκίαν δώσει αὐτοῖς
καὶ πάντας εὐλογήσει καὶ πάντων ἀντιλήμψεται καὶ βοηθήσει ἡ-
μῖν καὶ φανήσεται αὐτοῖς φῶς καὶ ποιήσει ἐπ᾽ αὐτοὺς εἰρήνην ⋄
[9] ὅτι ἔρχεται σὺν ταῖς μυριάσιν αὐτοῦ καὶ τοῖς ἁγίοις αὐτοῦ ποι- 9
ῆσαι κρίσιν κατὰ πάντων καὶ ἀπολέσει πάντας τοὺς ἀσεβεῖς καὶ
ἐλέγξει πᾶσαν σάρκα περὶ πάντων ἔργων τῆς ἀσεβείας αὐτῶν ὧν
ἠσέβησαν καὶ σκληρῶν ὧν ἐλάλησαν λόγων καὶ περὶ πάντων ὧν
κατελάλησαν κατ᾽ αὐτοῦ ἁμαρτωλοὶ ἀσεβεῖς ⋄

[1] κατανοήσατε πάντα τὰ ἔργα ἐν τῷ οὐρανῷ πῶς οὐκ ἠλλοίω- **2**

---

**1. v.1** ἐνὼχ ¦ αινωχ P. **v.1** ἐξᾶραι ¦ εξαρε P. **v.1** ἐχθρούς ¦ εκχθρους P. **v.2** ἔδειξέν ¦ εδιξεν P. **v.2** θεωρῶν ¦ θεορων P. **v.2** εἰς ¦ ις P. **v.2** ἐπὶ ¦ επει P. **v.2** λαλῶ ¦ αλλω P. **v.3** ἐκλεκτῶν ¦ εγλεκτων P. **v.4** ἐπὶ ¦ επει P. **v.5** ᾄσουσιν ¦ ασωσιν P. **v.5** [γῆς] ¦ ∅ P. **v.5** σεισθήσονται ¦ σισθησονται P. **v.5** μέχρι ¦ μεχρει P. **v.6** σεισθήσονται ¦ σισθησονται P. **v.6** ὑψηλὰ ¦ ὑψελὰ P. **v.6** ταπεινωθήσονται P[1] ¦ πεινωθησονται P[*]. **v.6** φλογὶ ¦ φλογει P. **v.7** ῥαγάδει ¦ ῥαγῶδες (?). **v.7** ἐπὶ ¦ επει P. **v.7** ἔσται ¦ εστε P. **v.8** μετὰ ¦ μεγα P[vid]. **v.8** δικαίων ¦ δικεων P. **v.8** γενήσεται ¦ γενηται P. **v.8** εὐδοκίαν ¦ ευδοκειαν P. **v.8** ἀντιλήμψεται ¦ αντειλημψεται P. **v.9** ὅτι ¦ οτει P. **v.9** ταῖς ¦ τοις P. **v.9** ἁγίοις ¦ αγειοις P. **v.9** ἐλέγξει ¦ λενξει P. **v.9** ἠσέβησαν ¦ εσεβησαν P. **v.9** ἀσεβεῖς ¦ ασεβις P. **2. v.1** κατανοήσατε ¦ κατανοησεται P.

σαν τὰς ὁδοὺς αὐτῶν καὶ τοὺς φωστῆρας τοὺς ἐν τῷ οὐρανῷ ὡς τὰ
πάντα ἀνατέλλει καὶ δύνει τεταγμένος ἕκαστος ἐν τῷ τεταγμένῳ°
καιρῷ καὶ ταῖς° ἑορταῖς αὐτῶν φαίνονται καὶ οὐ παραβαίνουσιν
2 τὴν ἰδίαν τάξιν ⁘ [2] ἴδετε τὴν γῆν καὶ διανοήθητε περὶ τῶν ἔργων τῶν
ἐν αὐτῇ γινομένων ἀπ᾽ ἀρχῆς μέχρι° τελειώσεως ὥς εἰσιν φθαρτὰ
ὡς οὐκ ἀλλοιοῦνται οὐδὲν τῶν ἐπὶ γῆς ἀλλὰ πάντα ἔργα θεοῦ
3 ὑμῖν φαίνεται ⁘ [3] ἴδετε τὴν θερείαν καὶ τὸν χειμῶνα ⁘
**3** [1] καταμάθετε καὶ ἴδετε πάντα τὰ δένδρα ⁘
**5** [1] πῶς τὰ φύλλα χλωρὰ ἐν αὐτοῖς σκέποντα τὰ δένδρα καὶ πᾶς
ὁ καρπὸς αὐτῶν εἰς τιμὴν καὶ δόξαν διανοήθητε καὶ γνῶτε περὶ
πάντων τῶν ἔργων αὐτοῦ καὶ νοήσατε ὅτι θεὸς ζῶν ἐποίησεν αὐτὰ
2 οὕτως καὶ ζῇ εἰς πάντας τοὺς αἰῶνας ⁘ [2] καὶ τὰ ἔργα αὐτοῦ πάντα
ὅσα ἐποίησεν εἰς τοὺς αἰῶνας ἀπὸ ἐνιαυτοῦ εἰς ἐνιαυτὸν γινόμενα
πάντα οὕτως καὶ πάντα ὅσα ἀποτελοῦσιν αὐτῷ τὰ ἔργα καὶ οὐκ
ἀλλοιοῦνται αὐτῶν τὰ ἔργα ἀλλ᾽ ὡσπερεὶ κατὰ ἐπιταγὴν τὰ πάντα
3 γίνεται ⁘ [3] ἴδετε πῶς ἡ θάλασσα καὶ οἱ ποταμοὶ ὡς ὁμοίως ἀποτε-
λοῦσιν καὶ οὐκ ἀλλοιοῦσιν αὐτῶν τὰ ἔργα ἀπὸ τῶν λόγων αὐτοῦ ⁘
4 [4] ὑμεῖς δὲ οὐκ° ἐνεμείνατε οὐδὲ ἐποιήσατε κατὰ τὰς ἐντολὰς αὐ-
τοῦ ἀλλὰ ἀπέστητε καὶ κατελαλήσατε μεγάλους καὶ σκληροὺς
λόγους ἐν στόματι ἀκαθαρσίας ὑμῶν κατὰ τῆς μεγαλωσύνης αὐ-
τοῦ ὅτι κατελαλήσατε ἐν τοῖς ψεύμασιν ὑμῶν σκληροκάρδιοι οὐκ
5 ἔστιν° εἰρήνη ὑμῖν ⁘ [5] τοιγὰρ τὰς ἡμέρας ὑμῶν ὑμεῖς κατηράσασθε
καὶ° τὰ ἔτη τῆς ζωῆς ὑμῶν ἀπολεῖται καὶ τὰ ἔτη τῆς ἀπωλείας ὑ-
μῶν πληθυνθήσεται ἐν κατάρᾳ αἰώνων καὶ οὐκ ἔσται ὑμῖν ἔλεος
6 καὶ εἰρήνη ⁘ [6] τότε ἔσται τὰ ὀνόματα ὑμῶν εἰς κατάραν αἰώνιον
πᾶσιν τοῖς δικαίοις καὶ ἐν ὑμῖν καταράσονται πάντες οἱ κατα-
ρώμενοι καὶ πάντες οἱ ἁμαρτωλοὶ καὶ ἀσεβεῖς ἐν ὑμῖν ὀμοῦνται
καὶ πάντες οἱ ἀναμάρτητοι χαρήσονται καὶ ἔσται αὐτοῖς λύσις
ἁμαρτιῶν καὶ πᾶν ἔλεος καὶ εἰρήνη καὶ ἐπιείκεια ἔσται αὐτοῖς

---

**v.1** ἠλλοίωσαν ¦ ηλλυοσαν P. **v.1** τεταγμένῳ καιρῷ ¦ τεταγμενο κερω P. **v.1** ταῖς ἑορταῖς ¦ τες εορτης P. **v.1** φαίνονται ¦ φενονται P. **v.1** παραβαίνουσιν ¦ παραβεννουσιν P. **v.1** ἰδίαν ¦ ειδειαν P. **v.2** ἴδετε ¦ ειδετε P. **v.2** διανοήθητε ¦ διανοηθηται P. **v.2** γινομένων ¦ γεινομενων P. **v.2** μέχρι τελειώσεως ¦ μεχρει τελιωσεως P. **v.2** ὥς ¦ ∅ P. **v.2** ἀλλοιοῦνται ¦ αλλυουνται P. **v.2** ἐπὶ ¦ επει P. **v.2** φαίνεται ¦ φενεται P. **v.3** θερείαν ¦ θεριαν P. **v.3** τὸν ¦ των P. **3. v.1** καταμάθετε ¦ καταμαθεται P. **v.1** ἴδετε ¦ ἴδεται P. **5. v.1** τιμὴν ¦ τειμην P. **v.1** διανοήθητε ¦ διανοηθηται P. **v.1** γνῶτε ¦ γνωται P. **v.1** νοήσατε ¦ νοησαται P. **v.2** γινόμενα ¦ γεινομενα P. **v.2** ἀλλοιοῦνται ¦ αλλυουνται P. **v.2** ἐπιταγὴν ¦ επειταγην P. **v.2** γίνεται ¦ γεινεται P. **v.3** ἴδετε ¦ ειδετε P. **v.3** θάλασσα ¦ θαλασα P. **v.3** ἀλλοιοῦσιν ¦ αλλυουσιν P. **v.4** ὑμεῖς ¦ υμις P. **v.4** οὐκ ἐνεμείνατε ¦ οκ ενεμιναται P. **v.4** ἐποιήσατε ¦ εποιησαται P. **v.4** ἀπέστητε ¦ απεστηται P. **v.4** κατελαλήσατε ¦ καταλαλησαται P. **v.4** στόματι ¦ στοματει P. **v.4** σκληροκάρδιοι ¦ σκληρωκαρδιοι P. **v.4** ἔστιν εἰρήνη ¦ εστε ιρηνη P. **v.5** ὑμεῖς ¦ υμις P. **v.5** κατηράσασθε ¦ κατηρασασθαι P. **v.5** καὶ τὰ ἔτη ¦ κατα P. **v.5** ἀπολεῖται ¦ απολιται P. **v.5** ἔτη ¦ αιτη P. **v.5** ἀπωλείας ¦ απολιας P. **v.5** ἔσται ¦ εστε P. **v.6** δικαίοις ¦ δικεοις P. **v.6** ἀσεβεῖς ¦ ασεβις P. **v.6** ὀμοῦνται ¦ ομουται P. **v.6** ἀναμάρτητοι ¦ αμαρτοι P. **v.6** ἁμαρτιῶν ¦ αμαρτειων P. **v.6** ἐπιείκεια ¦ επειεικεια P.

σωτηρία φῶς ἀγαθὸν καὶ αὐτοὶ κληρονομήσουσιν τὴν γῆν καὶ
πᾶσιν ὑμῖν τοῖς ἁμαρτωλοῖς οὐχ ὑπάρξει σωτηρία ἀλλὰ ἐπὶ πάν-
τας ὑμᾶς κατάλυσις° κατάρα ⬦ [7] καὶ τοῖς ἐκλεκτοῖς ἔσται φῶς καὶ 7
χάρις καὶ εἰρήνη καὶ αὐτοὶ κληρονομήσουσιν τὴν γῆν ὑμῖν δὲ
τοῖς ἀσεβέσιν ἔσται κατάρα ⬦ [8] τότε δοθήσεται τοῖς ἐκλεκτοῖς φῶς 8
καὶ χάρις καὶ αὐτοὶ κληρονομήσουσιν τὴν γῆν τότε δοθήσεται
πᾶσιν τοῖς ἐκλεκτοῖς σοφία καὶ πάντες οὗτοι ζήσονται καὶ οὐ μὴ
ἁμαρτήσονται ἔτι οὐ κατ᾽ ἀλήθειαν οὔτε κατὰ ὑπερηφανίαν καὶ
ἔσται ἐν ἀνθρώπῳ πεφωτισμένῳ φῶς καὶ ἀνθρώπῳ ἐπιστήμονι
νόημα καὶ οὐ μὴ πλημμελήσουσιν ⬦ [9] οὐδὲ μὴ ἁμάρτωσιν πάσας 9
τὰς ἡμέρας τῆς ζωῆς αὐτῶν καὶ οὐ μὴ ἀποθάνωσιν ἐν ὀργῇ θυ-
μοῦ ἀλλὰ τὸν ἀριθμὸν αὐτῶν ζωῆς ἡμερῶν πληρώσουσιν καὶ ἡ
ζωὴ αὐτῶν αὐξηθήσεται ἐν εἰρήνῃ καὶ τὰ ἔτη τῆς χαρᾶς αὐτῶν
πληθυνθήσεται ἐν ἀγαλλιάσει καὶ εἰρήνῃ αἰῶνος ἐν πάσαις° ταῖς
ἡμέραις τῆς ζωῆς αὐτῶν ⬦

[1] καὶ ἐγένετο οὗ ἂν ἐπληθύνθησαν οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν ἐ- **6**
κείναις° ταῖς ἡμέραις ἐγεννήθησαν θυγατέρες ὡραῖαι καὶ καλαί ⬦
[2] καὶ ἐθεάσαντο αὐτὰς οἱ ἄγγελοι υἱοὶ οὐρανοῦ καὶ ἐπεθύμησαν 2
αὐτὰς καὶ εἶπαν πρὸς ἀλλήλους δεῦτε ἐκλεξώμεθα ἑαυτοῖς γυ-
ναῖκας ἀπὸ τῶν ἀνθρώπων καὶ γεννήσομεν ἑαυτοῖς τέκνα ⬦ [3] καὶ 3
εἶπεν σεμειαζᾶς πρὸς αὐτοὺς ὃς ἦν ἄρχων αὐτῶν φοβοῦμαι μὴ
οὐ θελήσετε ποιῆσαι τὸ πρᾶγμα τοῦτο καὶ ἔσομαι ἐγὼ μόνος
ὀφειλέτης° ἁμαρτίας μεγάλης ⬦ [4] ἀπεκρίθησαν οὖν αὐτῷ πάντες 4
ὀμόσωμεν ὅρκῳ πάντες καὶ ἀναθεματίσωμεν πάντες ἀλλήλους
μὴ ἀποστρέψαι τὴν γνώμην ταύτην μέχρις οὗ ἂν τελέσωμεν αὐ-
τὴν καὶ ποιήσωμεν τὸ πρᾶγμα τοῦτο ⬦ [5] τότε ὤμοσαν πάντες ὁμοῦ 5
καὶ ἀνεθεμάτισαν ἀλλήλους ἐν αὐτῷ ⬦ [6] ἦσαν δὲ οὗτοι διακόσιοι οἱ 6
καταβάντες ἐν ταῖς ἡμέραις ἰάρεδ εἰς τὴν κορυφὴν τοῦ ἑρμονιεὶμ
ὄρους καὶ ἐκάλεσαν τὸ ὄρος ἑρμὼμ καθότι ὤμοσαν καὶ ἀνεθε-
μάτισαν ἀλλήλους ἐν αὐτῷ ⬦ [7] καὶ ταῦτα τὰ ὀνόματα τῶν ἀρχόντων 7
αὐτῶν σεμιαζὰ οὗτος ἦν ἄρχων αὐτῶν ἀραθὰκ κιμβρὰ σαμμα-
νὴ δανειὴλ ἀρεαρὼς σεμιὴλ ἰωμειὴλ χωχαριὴλ ἐζεκιὴλ βατριὴλ
σαθιὴλ ἀτριὴλ ταμιὴλ βαρακιὴλ ἀνανθνὰ θωνιὴλ ῥαμιὴλ ἀσεὰλ

---

**v.6** ἐπὶ ¦ επει P. **v.6** κατάλυσις κατάρα ¦ καταλυσιν καταραν P. **v.7** ἐκλεκτοῖς ¦ εγλεκτοις P. **v.7** ἔσται ¦ εστε P. **v.8** ἐκλεκτοῖς ¦ εγλεκτοις P. **v.8** σοφία ¦ σοφιαν P. **v.8** ἔτι ¦ ετει P. **v.8** ἐπιστήμονι ¦ επειστημονει P. **v.9** οὐ ¦ ο P. **v.9** πάσαις ταῖς ἡμέραις ¦ πασες τες ημερες P. **6. v.1** καὶ ¦ εκ του βιβλιου ενωχ περι των εγρηγορων και Sync. **v.1** υἱοὶ ¦ υειοι P. **v.1** ἐκείναις ταῖς ἡμέραις ¦ εκεινες τες ημερες P. **v.1** θυγατέρες ¦ θυγατεραις Sync[a]. **v.1** ὡραῖαι ¦ ωρειαι P. **v.2** ἐκλεξώμεθα ¦ εγλεξομεθα P. **v.3** θελήσετε ¦ θελησεται P. **v.3** ὀφειλέτης ἁμαρτίας ¦ οφειλητης αμαρτειας P. **v.4** ἀπεκρίθησαν ¦ απεκρειθησαν P. **v.4** ἀναθεματίσωμεν ¦ αναθεματεισομεν P. **v.4** ἀποστρέψαι ¦ αποστρεψε P. **v.4** ποιήσωμεν ¦ ποιησομεν P. **v.5** ἀνεθεμάτισαν ¦ ἀνεθεματεισαν P ¦ αναθεματισαν Sync[g]. **v.7** ἄρχων ¦ αρχον P.

8 ῥακειὴλ τουριὴλ ✧ [8] οὗτοί εἰσιν αὐτῶν° οἱ δέκα[δ]άρχαι ✧
**7** [1] καὶ ἔλαβον ἑαυτοῖς γυναῖκες ἕκαστος αὐτῶν ἐξελέξαντο ἑαυ-
τοῖς γυναῖκας καὶ ἤρξαντο εἰσπορεύεσθαι πρὸς αὐτὰς καὶ μιαίνεσθαι
ἐν αὐταῖς καὶ ἐδίδαξαν αὐτὰς φαρμακείας καὶ ἐπαοιδὰς καὶ ῥίζο-
2 τομίας καὶ τὰς βοτάνας ἐδήλωσαν αὐταῖς ✧ [2] αἱ δὲ ἐν γαστρὶ λαβοῦ-
3 σαι ἐτέκοσαν γίγαντας μεγάλους ἐκ πηχῶν τρισχιλίων ✧ [3] οἵτινες
κατησθίοσαν τοὺς κόπους τῶν ἀνθρώπων ὡς δὲ οὐκ ἐδυνήθησαν
4 αὐτοῖς οἱ ἄνθρωποι ἐπιχορηγεῖν ✧ [4] οἱ γίγαντες ἐτόλμησαν ἐπ᾽ αὐ-
5 τοὺς καὶ κατησθίοσαν τοὺς ἀνθρώπους ✧ [5] καὶ ἤρξαντο ἁμαρτάνειν
ἐν τοῖς πετεινοῖς καὶ τοῖς [θ]ηρίοις καὶ ἑρπετοῖς καὶ τοῖς [ἰ]χθύσιν
6 καὶ ἀλλήλων τὰς σάρκας κατεσθίειν καὶ τὸ αἷμα° ἔπινον ✧ [6] τότε ἡ
γῆ ἐνέτυχεν κατὰ τῶν ἀνόμων ✧
**8** [1] ἐδίδαξεν τοὺς ἀνθρώπους ἀζαὴλ μαχαίρας ποιεῖν καὶ ὅπλα
καὶ ἀσπίδας καὶ θώρακας διδάγματα ἀγγέλων καὶ ὑπέδειξεν αὐ-
τοῖς τὰ μέταλλα καὶ τὴν ἐργασίαν αὐτῶν καὶ ψέλια καὶ κόσμους
καὶ στίβεις καὶ τὸ καλλιβλέφαρον καὶ παντοίους λίθους ἐκλεκτοὺς
2 καὶ τὰ βαφικά ✧ [2] καὶ ἐγένετο ἀσέβεια πολλὴ καὶ ἐπόρνευσαν καὶ
ἀπεπλανήθησαν καὶ ἠφανίσθησαν ἐν πάσαις ταῖς ὁδοῖς αὐτῶν ✧
3 [3] σεμιαζᾶς ἐδίδαξεν ἐπαοιδὰς καὶ ῥιζοτομίας ἀρμαρὼς ἐπαοιδῶν
λυτήριον ῥάκιὴλ ἀστρολογίας χωχιὴλ τὰ σημειωτικὰ σαθιὴλ ἀ-
4 στεροσκοπίαν σεριὴλ σεληναγωγίας ✧ [4] τῶν οὖν ἀνθρώπων ἀπολ-
λυμένων ἡ βο[ὴ] εἰς οὐρανοὺς ἀνέβη ✧
**9** [1] τότε παρ[α]κύψαντες μιχαὴλ καὶ οὐ[ρι]ὴλ καὶ ῥαφαὴλ καὶ
γαβριὴ[λ] οὗτοι ἐκ τοῦ οὐρανοῦ ἐθεάσ[αν]το αἷμα πολὺ ἐκχυν-
2 νόμεν[ον] ἐπὶ τῆς γῆς ✧ [2] καὶ εἶπαν πρὸς ἀλλήλους φωνὴ βοώντων
3 ἐπὶ τῆς γῆς μέχρι πυλῶν τοῦ οὐρανοῦ ✧ [3] ἐντυγχάνουσιν αἱ ψυχαὶ
τῶν ἀνθρώπων λεγόντων εἰσαγάγετε τὴν κρίσιν ἡμῶν πρὸς τὸν ὕ-
4 ψιστον ✧ [4] καὶ εἶπα[ν] τῷ κυρίῳ σὺ εἶ κύριος τῶν κυρίων καὶ ὁ θεὸς
τῶν θεῶν καὶ βασιλεὺς τῶν αἰώνων ὁ θρόνος τῆς δόξης σου εἰς
πάσας τὰς γενεὰς τοῦ αἰῶνος καὶ τὸ ὄνομά σου τὸ ἅγιον καὶ μέγα
καὶ εὐλογητὸν εἰς πάντας τοὺς αἰῶνας τότε° ὁ ὕψιστος ἐκέλευσε
τοῖς ἁγίοις ἀρχαγγέλοις καὶ ἔδησαν τοὺς ἐξάρχους αὐτῶν καὶ ἔ-

**v.8** αὐτῶν οἱ δέκα[δ]άρχαι ¦ αρχε αυτων οι δεκα P. **7. v.1** γυναῖκας ¦ γυνεκας P. **v.1** μιαίνεσθαι ¦ μειενεσθαι P. **v.1** αὐταῖς ¦ αυτες P. **v.1** ἐπαοιδὰς ¦ ειπαοιδας P. **v.1** ῥιζοτομίας ¦ ρειζοτομιας P. **v.2** γαστρὶ ¦ γαστριν P. **v.2** γίγαντας ¦ γειγαντας P. **v.2** τρισχιλίων ¦ τρισχειλιων P. **v.3** οἵτινες ¦ οιτεινες P. **v.3** κατησθίοσαν ¦ κατέσθοσαν (?). **v.3** ἐπιχορηγεῖν ¦ επειχορηγιν P. **v.5** κατεσθίειν ¦ κατεσθειειν P. **v.5** αἷμα ἔπινον ¦ εμα επιννον P. **8. v.1** μαχαίρας ¦ μαχερας P. **v.1** ἀσπίδας ¦ ασπειδας P. **v.1** ὑπέδειξεν ¦ υπεδιξεν P. **v.1** μέταλλα ¦ μεταλα P ¦ μεγαλα (?). **v.1** στίβεις ¦ στειβεις P. **v.1** ἐκλεκτοὺς ¦ εγλεκτους P. **v.2** ἀσέβεια ¦ ασεβια P. **v.2** ἠφανίσθησαν ¦ εφανισθησαν P. **v.3** ἐπαοιδὰς ¦ επαιδας P. **v.3** ῥακιὴλ ¦ βαρακιηλ (?). **v.3** ἀστρολογίας ¦ αστρωλογιας P. **v.3** σημειωτικὰ ¦ σημειωτεικὰ P. **v.3** ἀστεροσκοπίαν ¦ αστεροσκοπειαν P. **v.4** οὐρανοὺς ¦ ορανους P. **9. v.1** αἷμα ¦ εμα P. **v.1** ἐπὶ ¦ επει P. **v.2** ἐπὶ ¦ επει P. **v.2** μέχρι ¦ μεχρει P. **v.3** εἰσαγάγετε ¦ εισαγαγεται P. **v.4** τότε . . . ✧ ¦ ∅ σρς(;).

βαλον αὐτοὺς εἰς τὴν ἄβυσσον ἕως τῆς κρίσεως ⟡ 5 σὺ γὰρ ἐποίησάς 5
τὰ πάντα καὶ πᾶσαν τὴν ἐξουσίαν ἔχων καὶ πάντα ἐνώπιόν σου
φανερὰ καὶ ἀκάλυπτα ⟡ 6 καὶ πάντα σὺ ὁρᾷς ἃ ἐποίησεν ἀζαὴλ ὃς 6
ἐδίδαξεν πάσας τὰς ἀδικίας ἐπὶ τῆς γῆς καὶ ἐδήλωσεν τὰ μυστή-
ρια τοῦ αἰῶνος τὰ ἐν τῷ οὐρανῷ ἃ ἐπιτηδεύουσιν καὶ ἔγνωσαν
ἄνθρωποι ⟡ 7 καὶ σεμιαζᾶς ᾧ τὴν ἐξουσίαν ἔδωκας ἄρχειν τῶν σὺν 7
αὐτῷ ἅμα ὄντων ⟡ 8 καὶ ἐπορεύθησαν πρὸς τὰς θυγατέρας τῶν ἀν- 8
θρώπων τῆς γῆς καὶ συνεκοιμήθησαν αὐταῖς καὶ ἐμιάνθησαν καὶ
ἐδήλωσαν αὐταῖς πάσας τὰς ἁμαρτίας ⟡ 9 καὶ αἱ γυναῖκες ἐγέννη- 9
σαν τιτᾶνας ὑφ᾽ ὧν ὅλη ἡ γῆ ἐπλήσθη αἵματος καὶ ἀδικίας ⟡ 10 καὶ 10
νῦν ἰδοὺ˚ βοῶσιν αἱ ψυχαὶ τῶν τετελευτηκότων καὶ ἐντυγχάνουσιν
μέχρι τῶν πυλῶν τοῦ οὐρανοῦ καὶ ἀνέβη ὁ στεναγμὸς αὐτῶν καὶ
οὐ δύναται ἐξελθεῖν ἀπὸ προσώπου τῶν ἐπὶ τῆς γῆς γινομένων
ἀνομημάτων 11 καὶ σὺ πάντα οἶδας πρὸ τοῦ αὐτὰ γενέσθαι καὶ σὺ 11
ὁρᾷς ταῦτα καὶ ἐᾷς αὐτοὺς καὶ οὐδὲ ἡμῖν λέγεις˚ τί δεῖ ποιεῖν
αὐτοὺς περὶ τούτων ⟡

1 τότε ὕψιστος εἶπεν περὶ τούτων ὁ μέγας ἅγιος καὶ ἐλάλησεν **10**
καὶ εἶπεν καὶ ἔπεμψεν ἰστραὴλ πρὸς τὸν υἱὸν λέμεχ ⟡ 2 εἶπὸν αὐ- 2
τῷ ἐπὶ˚ τῷ ἐμῷ ὀνόματι κρύψον σεαυτὸν καὶ δήλωσον αὐτῷ τέλος
ἐπερχόμενον ὅτι ἡ γῆ ἀπόλλυται πᾶσα καὶ κατακλυσμὸς μέλλει˚
γίνεσθαι πάσης τῆς γῆς καὶ ἀπολέσει πάντα ὅσα ἐστιν ἐν αὐτῇ ⟡
3 καὶ δίδαξον αὐτὸν ὅπως ἐκφύγῃ καὶ μενεῖ τὸ σπέρμα αὐτοῦ εἰς 3
πάσας τὰς γενεὰς τοῦ αἰῶνος ⟡ 4 καὶ τῷ ῥαφαὴλ εἶπεν δῆσον τὸν 4
ἀζαὴλ ποσὶν καὶ χερσὶν καὶ βάλε αὐτὸν εἰς τὸ σκότος καὶ ἄνοιξον
τὴν ἔρημον τὴν οὖσαν ἐν τῷ δαδουὴλ κἀκεῖ βάλε αὐτὸν ⟡ 5 καὶ 5
ὑπόθες αὐτῷ λίθους τραχεῖς καὶ ὀξεῖς καὶ ἐπικάλυψον˚ αὐτῷ τὸ
σκότος καὶ οἰκησάτω ἐκεῖ εἰς τοὺς αἰῶνας καὶ τὴν ὄψιν αὐτοῦ πώ-
μασον καὶ φῶς μὴ θεωρείτω ⟡ 6 καὶ ἐν τῇ ἡμέρᾳ τῆς μεγάλης τῆς 6
κρίσεως ἀπαχθήσεται εἰς τὸν ἐνπυρισμόν ⟡ 7 καὶ ἰαθήσεται ἡ γῆ ἣν 7
ἠφάνισαν οἱ ἄγγελοι καὶ τὴν ἴασιν τῆς γῆς δήλωσον ἵνα ἰάσωνται
τὴν πληγὴν ἵνα μὴ˚ ἀπόλωνται πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν
τῷ μυστηρίῳ ὅλῳ ᾧ ἐπέταξαν οἱ ἐγρήγοροι καὶ ἔδειξαν τοὺς υἱοὺς

**v.5** σύ ¦ σοι P. **v.5** ἐποίησας ¦ εποιησες P. **v.5** ἐνώπιόν ¦ ενωπειον P. **v.6** ἀδικίας ¦ αδεικιας P. **v.6** ἐπὶ ¦ επει P. **v.6** ἐπιτηδεύουσιν ¦ επιτεδευουσιν $P^{vid}$. **v.8** αὐταῖς ¦ αυτες P. **v.8** ἁμαρτίας ¦ αμαρτειας P. **v.9** γυναῖκες ¦ γυνεκες P. **v.9** τιτᾶνας ¦ τειτωναις $P^{*vid}$ ¦ τειτωνας $P^{corr}$. **v.9** ἀδικίας ¦ αδεικειας P. **v.10** ἰδοὺ βοῶσιν ¦ ειδου βωωσιν P. **v.10** τετελευτηκότων ¦ τετηλευτηκοτων P. **v.10** μέχρι ¦ μεχρει P. **v.10** ἐπὶ ¦ επει P. **v.10** γινομένων ¦ γεινομενων P. **v.11** ἐᾷς ¦ αιας P. **v.11** λέγεις τί ¦ λεγις τει P. **10. v.1** περὶ ¦ περει P. **v.2** εἶπον ¦ ειπων P. **v.2** ἐπὶ τῷ ἐμῷ ὀνόματι ¦ επει το εμω ονοματει P. **v.2** δήλωσον ¦ δηλοσον P. **v.2** μέλλει γίνεσθαι ¦ μελλι γεινεσθαι P. **v.2** ἐν ¦ ∅ (?). **v.4** ἄνοιξον ¦ ανυξον P. **v.4** ἔρημον ¦ ηρημον P. **v.5** λίθους ¦ λειθους P. **v.5** ὀξεῖς ¦ οξις P. **v.5** ἐπικάλυψον αὐτῷ τὸ ¦ επεικαλυψον αυτο τω P. **v.5** οἰκησάτω ¦ οικησατο P. **v.5** θεωρείτω ¦ θεωριτω P. **v.6** κρίσεως ¦ κρεισεως P. **v.7** ἰαθήσεται ¦ ειαθησεται P. **v.7** ἠφάνισαν ¦ εφανεισαν P. **v.7** ἰάσωνται ¦ ιασονται P. **v.7** μὴ ἀπόλωνται ¦ μην απολλωνται P.

8 αὐτῶν ⋄ [8] καὶ ἠρημώθη πᾶσα ἡ γῆ ἀφανισθεῖσα ἐν τοῖς ἔργοις τῆς
διδασκαλίας ἀζαὴλ καὶ ἐπ᾽ αὐτῷ γράψον τὰς ἁμαρτίας πάσας ⋄
9 [9] καὶ τῷ γαβριὴλ εἶπεν ὁ κύριος πορεύου ἐπὶ τοὺς μαζηρέους ἐπὶ
τοὺς κίβδήλους καὶ τοὺς υἱοὺς τῆς πορνείας καὶ ἀπόλεσον τοὺς
υἱοὺς τῶν ἐγρηγόρων ἀπὸ τῶν ἀνθρώπων πέμψον αὐτοὺς ἐν πολέ-
10 μῳ ἀπωλείας μακρότης γὰρ ἡμερῶν οὐκ ἔστιν αὐτῶν ⋄ [10] καὶ πᾶσα
ἐρώτησις [οὐκ] ἔσται τοῖς πατράσιν αὐτῶν καὶ περὶ αὐτῶν ὅτι ἐλ-
πίζουσιν ζῆσαι ζωὴν αἰώνιον καὶ ὅτι ζήσεται ἕκαστος αὐτῶν ἔτη
11 πεντακόσια ⋄ [11] καὶ εἶπεν μιχαὴλ πορεύου καὶ δήλωσον σεμιαζᾷ
καὶ τοῖς λοιποῖς τοῖς σὺν αὐτῷ ταῖς γυναιξὶν μιγεῖσιν μιανθῆναι
12 ἐν αὐταῖς ἐν τῇ ἀκαθαρσίᾳ αὐτῶν ⋄ [12] καὶ ὅταν κατασφαγῶσιν οἱ
υἱοὶ αὐτῶν καὶ ἴδωσιν τὴν ἀπώλειαν τῶν ἀγαπητῶν καὶ δῆσον
αὐτοὺς ἑβδομήκοντα γενεὰς εἰς τὰς νάπας τῆς γῆς μέχρι ἡμέρας
κρίσεως αὐτῶν καὶ συντελεσμοῦ ἕως τελεσθῇ τὸ κρίμα τοῦ αἰῶνος
13 τῶν αἰώνων ⋄ [13] τότε ἀπαχθήσονται εἰς τὸ χάος τοῦ πυρὸς καὶ εἰς
14 τὴν βάσανον καὶ εἰς τὸ° δεσμωτήριον συνκλείσεως αἰῶνος ⋄ [14] καὶ
ὃς° ἂν κατακαυθῇ καὶ ἀφανισθῇ ἀπὸ τοῦ νῦν μετ᾽ αὐτῶν ὁμοῦ
15 δεθήσονται μέχρι τελειώσεως γενεᾶς ⋄ [15] ἀπόλεσον πάντα τὰ πνεύ-
ματα τῶν κιβδήλων καὶ τοὺς υἱοὺς τῶν ἐγρηγόρων διὰ τὸ ἀδικῆσαι
16 τοὺς ἀνθρώπους ⋄ [16] καὶ ἀπόλεσον τὴν ἀδικίαν πᾶσαν ἀπὸ τῆς γῆς
καὶ πᾶν ἔργον πονηρίας ἐκλειπέτω καὶ ἀναφανήτω τὸ φυτὸν τῆς
δικαιοσύνης καὶ τῆς ἀληθείας εἰς τοὺς αἰῶνας μετὰ χαρᾶς φυ-
17 τευθήσεται ⋄ [17] καὶ νῦν πάντες οἱ δίκαιοι ἐκφεύξονται καὶ ἔσονται
ζῶντες ἕως γεννήσωσιν χιλιάδας καὶ πᾶσαι αἱ ἡμέραι νεότητος
18 αὐτῶν καὶ τὰ σάββατα αὐτῶν μετὰ εἰρήνης πληρώσουσιν ⋄ [18] τότε
ἐργασθήσεται πᾶσα ἡ γῆ ἐν δικαιοσύνῃ καὶ καταφυτευθήσεται
19 δένδρον ἐν αὐτῇ καὶ πλησθήσεται εὐλογίας ⋄ [19] καὶ πάντα τὰ δέν-
δρα τῆς γῆς ἀγαλλιάσονται φυτευθήσεται καὶ ἔσονται φυτεύοντες
ἀμπέλους καὶ ἡ ἄμπελος ἣν ἂν φυτεύσωσιν ποιήσουσιν προχοῦς
οἴνου χιλιάδας καὶ σπόρου ποιήσει καθ᾽ ἕκαστον μέτρον ἐλαίας
20 ποιήσει ἀνὰ βάτους δέκα ⋄ [20] καὶ σὺ καθάρισον τὴν γῆν ἀπὸ πάσης
ἀκαθαρσίας καὶ ἀπὸ πάσης ἀδικίας καὶ ἀπὸ πάσης ἁμαρτίας καὶ
ἀσεβείας καὶ πάσας τὰς ἀκαθαρσίας τὰς γινομένας ἐπὶ τῆς γῆς

---

**v.9** τῷ ¦ των P. **v.9** ἐπὶ ¦ επει P. **v.9** κιβδήλους ¦ κειβδηλους P. **v.9** ἀπωλείας ¦ απωλιας P. **v.10** ἐρώτησις ¦ εργεσις P. **v.10** αἰώνιον ¦ αιωνειον P. **v.11** γυναιξὶν μιγεῖσιν ¦ γυνεξιν μειγεντας P. **v.11** αὐταῖς ¦ αυτες P. **v.12** ἴδωσιν ¦ ειδωσιν P. **v.12** ἀπώλειαν ¦ απολιαν P. **v.12** μέχρι ¦ μεχρει P. **v.13** τὸ δεσμωτήριον συνκλείσεως ¦ το δες το δεσμοτηριον συνκλισεως P. **v.14** ὃς ἂν ¦ οταν P. **v.14** μετ᾽ ¦ με μετ P. **v.14** τελειώσεως ¦ τελιωσεως P. **v.16** δικαιοσύνης ¦ δικεοσυνης P. **v.16** ἀληθείας ¦ αληθιας P. **v.16** φυτευθήσεται ¦ φυτευσεται P. **v.17** δίκαιοι ¦ δικεοι P. **v.17** ἡμέραι ¦ ημερε P. **v.17** εἰρήνης ¦ ιρηνης P. **v.18** δικαιοσύνῃ ¦ δικεοσυνη P. **v.18** καταφυτευθήσεται ¦ φυτευσεται P. **v.19** ἀγαλλιάσονται ¦ αγαλιασονται P. **v.19** φυτευοντες ¦ φυτευοντευοντες P. **v.19** καὶ ¦ αι P. **v.19** ἐλαίας ¦ ελεας P. **v.20** πάσης ¦ σης P. **v.20** γινομένας ¦ γεινομενας P. **v.20** ἐπὶ ¦ επει P.

ἐξάλειψον ⟡ [21] καὶ ἔσονται πάντες λατρεύοντες οἱ λαοὶ καὶ εὐλο- 21
γοῦντες πάντες ἐμοὶ καὶ προσκυνοῦντες ⟡ [22] καὶ καθαρισθήσεται 22
πᾶσα ἡ γῆ ἀπὸ παντὸς μιάμματος καὶ ἀπὸ πάσης ἀκαθαρσίας
καὶ ὀργῆς καὶ μάστιγος καὶ οὐκέτι πέμψω ἐπ᾽ αὐτοὺς εἰς πάσας
τὰς γενεὰς τοῦ αἰῶνος ⟡

[1] καὶ τότε ἀνοίξω τὰ ταμεῖα τῆς εὐλογίας τὰ ὄντα ἐν τῷ οὐρανῷ **11**
καὶ κατενεγκεῖν αὐτὰ ἐπὶ τὰ ἔργα ἐπὶ τὸν κόπον τῶν υἱῶν τῶν
ἀνθρώπων ⟡ [2] καὶ τότε ἀλήθεια καὶ εἰρήνη° κοινωνήσουσιν ὁμοῦ 2
εἰς πάσας τὰς ἡμέρας τοῦ αἰῶνος καὶ εἰς πάσας τὰς γενεὰς τῶν
ἀνθρώπων ⟡

[1] πρὸ τούτων τῶν λόγων ἐλήμφθη ἑνὼχ καὶ οὐδεὶς τῶν ἀνθρώ- **12**
πων ἔγνω ποῦ ἐλήμφθη καὶ ποῦ ἐστιν καὶ τί ἐγένετο αὐτῷ ⟡ [2] καὶ 2
τὰ ἔργα αὐτοῦ μετὰ τῶν ἐγρηγόρων καὶ μετὰ τῶν ἁγίων αἱ ἡμέραι
αὐτοῦ ⟡ [3] καὶ ἑστὼς ἤμην ἑνὼχ εὐλογῶν τῷ κυρίῳ τῆς μεγαλωσύ- 3
νης τῷ βασιλεῖ τῶν αἰώνων καὶ ἰδοὺ οἱ ἐγρήγοροι τοῦ ἁγίου τοῦ
μεγάλου ἐκάλουν με ⟡ [4] ἑνὼχ° ὁ γραμματεὺς τῆς δικαιοσύνης πο- 4
ρεύου καὶ εἰπὲ τοῖς ἐγρηγόροις τοῦ οὐρανοῦ οἵτινες ἀπολιπόντες
τὸν° οὐρανὸν τὸν ὑψηλὸν τὸ ἁγίασμα τῆς στάσεως τοῦ αἰῶνος με-
τὰ τῶν γυναικῶν ἐμιάνθησαν καὶ ὥσπερ οἱ υἱοὶ τῆς γῆς ποιοῦσιν
οὕτως καὶ αὐτοὶ ποιοῦσιν καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας ἀφανι-
σμὸν μέγαν ἠφανίσατε τὴν γῆν ⟡ [5] καὶ οὐκ ἔσται ὑμῖν εἰρήνη οὔτε 5
ἄφεσις καὶ περὶ ὧν χαίρουσιν τῶν υἱῶν αὐτῶν ⟡ [6] τὸν φόνον τῶν 6
ἀγαπητῶν αὐτῶν ὄψονται καὶ ἐπὶ τῇ ἀπωλείᾳ τῶν υἱῶν αὐτῶν
στενάξουσιν καὶ δεηθήσονται εἰς τὸν αἰῶνα καὶ οὐκ ἔσται αὐτοῖς
εἰς ἔλεον καὶ εἰρήνην ⟡

[1] ὁ δὲ ἑνὼχ τῷ ἀζαὴλ εἶπεν πορεύου οὐκ ἔσται σοι εἰρήνη° **13**
κρίμα μέγα ἐξῆλθεν κατὰ σοῦ δῆσαί σε ⟡ [2] καὶ ἀνοχὴ καὶ ἐρώτη- 2
σίς σοι οὐκ ἔσται περὶ ὧν ἔδειξας ἀδικημάτων καὶ περὶ πάντων
τῶν ἔργων τῶν ἀσεβειῶν καὶ τῆς ἀδικίας καὶ τῆς ἁμαρτίας ὅσα
ὑπέδειξας τοῖς ἀνθρώποις ⟡ [3] τότε πορευθεὶς εἴρηκα πᾶσιν αὐτοῖς 3
καὶ αὐτοὶ πάντες ἐφοβήθησαν καὶ ἔλαβεν αὐτοὺς τρόμος καὶ φό-
βος ⟡ [4] καὶ ἠρώτησαν ὅπως γράψω αὐτοῖς ὑπομνήματα ἐρωτήσεως 4

---

**v.21** προσκυνοῦντες ¦ προσκοινουντες P. **v.22** οὐκέτι ¦ ουκετει P. **11. v.1** ἀνοίξω ¦ ανυξω P. **v.1** ταμεῖα ¦ ταμια P. **v.1** κατενεγκεῖν ¦ κατενενκιν P. **v.1** ἐπὶ ¦ επει P. **v.2** ἀλήθεια ¦ αλεθεια P. **v.2** εἰρήνη κοινωνήσουσιν ¦ ιρηνη κοινονησουσιν P. **12. v.1** ἑνὼχ ¦ αινωχ P. **v.1** οὐδεὶς ¦ ουδις P. **v.2** ἡμέραι ¦ ημερε P. **v.3** ἑνὼχ ¦ αινωχ P. **v.3** βασιλεῖ ¦ βασιλι P. **v.4** ἑνὼχ ὁ ¦ αινωχ οι P. **v.4** δικαιοσύνης ¦ δικεοσυνης P. **v.4** τὸν οὐρανὸν τὸν ὑψηλὸν ¦ τον ουρανων τον υψηλων P. **v.4** γυναικῶν ¦ γυνεκων P. **v.4** γυναῖκας ¦ γυνεκας P. **v.4** μέγαν ¦ μεγαν και P. **v.5** ἔσται ¦ εστε P. **v.5** εἰρήνη ¦ ιρηνη P. **v.5** ἄφεσις ¦ αφησις P. **v.5** χαίρουσιν ¦ χερουσιν P. **v.6** ἐπὶ ¦ επει P. **v.6** ἀπωλείᾳ ¦ απολεια P. **v.6** ἔσται ¦ εστε P. **v.6** εἰρήνη ¦ ιρηνη P. **13. v.1** ἔσται ¦ εστε P. **v.1** εἰρήνη κρίμα ¦ ιρηνη κρειμα P. **v.1** δῆσαί ¦ δησε P. **v.2** ἔδειξας ¦ εδιξας P. **v.2** ἀσεβειῶν ¦ ασεβιων P. **v.2** ὑπέδειξας ¦ υπεδιξας P. **v.3** πορευθεὶς ¦ πορευθις P.

ἵνα γένῆται αὐτοῖς ἄφεσις καὶ ἵνα ἐγὼ ἀναγνῶ αὐτοῖς τὸ ὑπό-
5 μνημα τῆς ἐρωτήσεως ἐνώπιον κυρίου τοῦ οὐρανοῦ ⟡ [5] ὅτι αὐτοὶ
οὐκ ἔτι δύνἀνται λαλῆσαι οὐδὲ° ἐπᾶραι αὐτῶν τοὺς ὀφθαλμοὺς
εἰς τὸν οὐρανὸν ἀπὸ ἀἰσχύνης περὶ ὧν ἡμαρτήκεισαν καὶ κατε-
6 κρίθησαν ⟡ [6] τότε ἔγραψα τὸ ὑπόμνημα τῆς ἐρωτήσεως αὐτῶν καὶ
τὰς δεήσἐις περὶ τῶν πνευμάτων αὐτῶν καὶ περὶ ὧν δέονται ὅπως
7 αὐτῶν γένωνται ἄφεσις καὶ μακρότης ⟡ [7] καὶ πορευθἐὶς ἐκάθισα
ἐπὶ τῶν ὑδάτων δὰν ἐν γῇ δὰν ἥτις ἐστιν ἐκ δεξιῶν ἑρμωνειεὶμ δύ-
8 σεως ἀνεγίγνωσκὀν τὸ ὑπόμνημα τῶν δεήσεων αὐτῶν ⟡ [8] ὡς ἐκοι-
μήθην καὶ ἰδοὺ ὄνἐιροι ἐπʼ ἐμὲ ἦλθον καὶ ὁράσἐις ἐπʼ ἐμὲ ἐπέπι-
πτον καὶ ἴδὀν ὁράσἐις ὀργῆς καὶ ἦλθεν φωνὴ λέγουσα εἶπον τοῖς
9 ὑἱοῖς τοῦ οὐρανοῦ τοῦ ἐλέγ̊ξαι αὐτοὺς ⟡ [9] καὶ ἔξυπνος γενόμενος
ἦλθον πρὸς αὐτοὺς καὶ πάντες συνηγμένοι ἐκάθηντο πενθοῦν-
τες ἐν ἐβελσατὰ ἥτις ἐστὶν ἀνὰ μέσον τοῦ λιβάνου καὶ σενισὴλ
10 περικεκαλυμμένοι τὴν ὄψιν ⟡ [10] ἐνώπιον αὐτῶν καὶ ἀνήγγἐιλα αὐ-
τοῖς πάσας τὰς ὁράσἐις ἃς εἶδον κατὰ τοὺς ὕπνους καὶ ἠρξάμην
λαλἐῖν τοὺς λόγους τῆς δικἀιοσύνης ἐλέγχων τοὺς° ἐγρηγόρους
τοῦ οὐρανοῦ ⟡

**14** [1] βίβλος λόγων δικἀιοσύνης καὶ ἐλέγ̊ξεως ἐγρηγόρων τῶν ἀπὸ
τοῦ αἰῶνος κατὰ τὴν ἐντολὴν τοῦ ἁγίου τοῦ μεγάλου ἐν ταύτῃ
2 τῇ ὁράσἐι ⟡ [2] ἐγὼ εἶδὀν κατὰ τοὺς ὕπνους μου ἃ° νῦν λέγω ἐν
γλώσσῃ σαρκ̊ίνῃ ἐν τῷ πνεύματι τοῦ στόματί μου ὃ ἔδωκεν ὁ
3 μέγας τοῖς ἀνθρώποις λαλἐῖν ἐν αὐτοῖς καὶ νοήσει καρδίας ⟡ [3] ὃς
ἔκτ̊ισεν καὶ ἔδωκεν ἐλέγ̊ξασθαι ἐγρηγόρους τοὺς υἱοὺς τοῦ οὐ-
4 ρανοῦ ⟡ [4] ἐγὼ τὴν ἐρώτησιν ὑμῶν τῶν ἀγ̊γέλων ἔγραψα καὶ ἐν τῇ
ὁράσἐι μου τοῦτο ἐδἐίχθη καὶ οὔτε ἡ ἐρώτησις ὑμῶν παρεδέχθη ⟡
5 [5] ἵνα μηκέτι εἰς τὸν οὐρανὸν ἀναβῆτ̊ε ἐπὶ πάντας τοὺς αἰῶνας καὶ
ἐν τοῖς δεσμοῖς τῆς γῆς ἐρρέθη δῆσαι ὑμᾶς εἰς πάσας τὰς γε-
6 νεὰς τοῦ αἰῶνος ⟡ [6] καὶ ἵνα περὶ τούτων ἴ̊δητε τὴν ἀπώλἐιαν τῶν
υἱῶν ὑμῶν τῶν ἀγαπητῶν καὶ ὅτι οὐκ ἔστἀι ὑμῖν ὄνησις αὐτῶν
7 ἀλλὰ πεσοῦνται° ἐνώπιον ὑμῶν ἐν μαχἀίρᾳ ⟡ [7] καὶ ἡ ἐρώτησις ὑ-
μῶν περὶ αὐτῶν οὐκ ἔσται οὐδὲ περὶ ὑμῶν καὶ ὑμεῖς° κλαίοντες

**v.4** γένηται ¦ γενονται P. **v.4** ἀναγνῶ ¦ αναγνοι P. **v.5** δύνανται ¦ δυνονται P. **v.5** οὐδὲ ἐπᾶραι αὐτῶν ¦ οδε επαρε αυτον P. **v.5** αἰσχύνης ¦ εσχυνης P. **v.6** δεήσεις ¦ δεησις P. **v.7** πορευθεὶς ¦ πορευθις P. **v.7** ἀνεγίγνωσκον ¦ ανεγιγνωσκων P. **v.8** ὄνειροι ¦ ονηροι P. **v.8** ὁράσεις ¦ ορασις P. **v.8** ἴδον ¦ ιδων P. **v.8** υἱοῖς ¦ υειοις P[*vid]. **v.8** ἐλέγξαι ¦ ελενξει P. **v.10** ἐνώπιον ¦ ενοπιον P. **v.10** ἀνήγγειλα ¦ ανηνγιλα P. **v.10** ὁράσεις ¦ ορασις P. **v.10** λαλεῖν ¦ λαλιν P. **v.10** δικαιοσύνης ¦ δικεοσυνης P. **v.10** τοὺς ἐγρηγόρους ¦ τος γρηγορους P. **14. v.1** δικαιοσύνης ¦ δικεοσυνης P. **v.1** ἐλέγξεως ¦ ελενξεως P. **v.1** ὁράσει ¦ ορασι P. **v.2** εἶδον ¦ ειδων P. **v.2** ἃ ¦ ων P. **v.2** σαρκίνῃ ¦ σαρκεινη P. **v.2** λαλεῖν ¦ λαλιν P. **v.3** ἔκτισεν ¦ εκτεισεν P. **v.3** ἐλέγξασθαι ¦ εκλεξασθαι P. **v.4** ἀγγέλων ¦ ανγελων P. **v.4** ὁράσει ¦ ορασι P. **v.4** ἐδείχθη ¦ εδιχθη P. **v.5** ἀναβῆτε ¦ αναβηται P. **v.6** ἴδητε ¦ ειδητε P. **v.6** ἀπώλειαν ¦ απολιαν P. **v.6** ἔσται ¦ εστε P. **v.6** πεσοῦνται ἐνώπιον ¦ πεσουντε ενωπιων P. **v.6** μαχαίρᾳ ¦ μαχερα P. **v.7** ὑμεῖς κλαίοντες ¦ υμις κλεοντες P.

καὶ δεόμενοι καὶ μὴ λαλοῦντες πᾶν ῥῆμα ἀπὸ τῆς γραφῆς ἧς
ἔγραψα ⋄ [8] καὶ ἐμοὶ ἐφ᾽ ὁράσε̊ι οὕτως ἐδε̊ίχθη ἰδοὺ νεφέλα̊ι ἐν τῇ 8
ὁράσε̊ι ἐκάλουν καὶ ὁμίχλα̊ι με ἐφώνουν καὶ διαδρομα̊ὶ τῶν ἀ-
στέρων καὶ διαστραπα̊ί μ̊ε κατεσπούδαζον καὶ ἐθορύβαζόν μ̊ε καὶ
ἄνεμοι ἐν τῇ ὁράσε̊ι μου ἐξεπέταπασάν μ̊ε ⋄ [9] καὶ ἐπῆράν μ̊ε ἄνω 9
καὶ εἰσήνεγ̊κάν μ̊ε εἰς τὸν ὀ̊υρανὸν καὶ εἰσῆλθον μέχρις ἤγγισα
τε̊ίχους οἰκοδομῆς ἐν λίθοις χαλάζης καὶ γλώσσης πυρὸς κύκλῳ
αὐτῶν καὶ ἤρξαντο ἐκφοβε̊ῖν με ⋄ [10] καὶ εἰσῆλθον εἰς τὰς γλώσσας 10
τοῦ πυρὸς καὶ ἤ̊γγισα εἰς ο̊ἶκον μέγαν οἰκοδομημένον ἐν λίθοις
χαλάζης καὶ οἱ τοῖχοι τοῦ οἴκου ὡς λιθ̊όπλακες καὶ πᾶσαι ἦ̊σαν ἐκ
χιόνος καὶ ἐδάφη χιον̊ικά ⋄ [11] καὶ αἱ στέγαι ὡς διαδρομαὶ ἀστέρ̊ων 11
καὶ ἀστραπαὶ καὶ μεταξὺ αὐτῶν χερουβὶν πύρινα καὶ οὐρανὸς
αὐτῶν ὕδωρ ⋄ [12] καὶ πῦρ φλεγόμενον κύκλῳ τῶν τε̊ιχῶν καὶ θύραι 12
πυρὶ κα̊ιόμεναι ⋄ [13] εἰσῆλθον εἰς τὸν ο̊ἶκον ἐκεῖνον θερμὸν ὡς πῦρ 13
καὶ ψυχρὸν ὡς χιὼν καὶ πᾶσα τροφὴ ζωῆς ὀ̊ὐκ ἦν ἐν αὐτῷ φόβος
μ̊ε ἐκάλυψεν καὶ τρόμος μ̊ε ἔλαβεν ⋄ [14] καὶ ἤμην° σειόμενος καὶ 14
τρέμων καὶ ἔπεσον ἐθε̊ώρουν ἐν τῇ ὁράσε̊ι μου ⋄ [15] καὶ ἰδοὺ ἄλλη 15
θύρα ἀνεῳγμένη κατέναντί μου καὶ ὁ οἶκος μείζων τούτου καὶ
ὅλος οἰκοδομημένος ἐν γλώσσα̊ις πυρὸς ⋄ [16] καὶ ὅλος δ̊ιαφέρων 16
ἐν δόξῃ καὶ ἐν τ̊ιμῇ καὶ ἐν μεγαλωσύνῃ ὥστ̊ε μὴ δύνασθαί μ̊ε
ἐξειπεῖν ὑμῖν περὶ τῆς δόξης καὶ περὶ τῆς μεγαλωσύνης αὐτοῦ ⋄
[17] τὸ ἔδαφος αὐτοῦ ἦν πυρὸς τὸ δὲ ἀνώτερ̊ον αὐτοῦ ἦσαν ἀστρα- 17
παὶ καὶ διαδρομαὶ ἀστέρων καὶ ἡ στέγη αὐτοῦ ἦν πῦρ φλέγον ⋄
[18] ἐθε̊ώρουν δὲ καὶ εἶδον θρόνον ὑψηλὸν καὶ τὸ εἶδος αὐτοῦ ὡσε̊ὶ 18
κρυστάλλινον καὶ τροχὸς ὡς ἡλίου λάμποντος καὶ ὄρος χερουβίν ⋄
[19] καὶ ὑποκάτω τοῦ θρόνου ἐξεπορεύοντο ποταμοὶ πυρὸς φλεγό- 19
μενοι καὶ οὐκ ἐδυνάσθην ἰδε̊ῖν ⋄ [20] καὶ ἡ δόξα ἡ μεγάλη ἐκάθητο 20
ἐπ᾽° αὐτῷ τὸ περιβόλα̊ιον αὐτοῦ ὡς εἶδος ἡλίου λαμπρότερον καὶ
λευκότερον πάσης χιόνος ⋄ [21] καὶ οὐκ ἐδύνατο πᾶς ἄγγελος πα- 21
ρελθεῖν εἰς τὸν οἶκον τοῦτον καὶ ἰδε̊ῖν τὸ πρόσωπον αὐτοῦ διὰ
τὸ ἔντιμον καὶ ἔνδοξον καὶ οὐκ ἐδύνατο πᾶσα σὰρξ ἰδε̊ῖν αὐτοῦ ⋄
[22] τὸ πῦρ φλεγόμενον κύκλῳ καὶ πῦρ μέγα παριστήκει αὐτῷ καὶ 22

**v.8** ὁράσει ¦ ορασι P. **v.8** ἐδείχθη ¦ εδιχθη P. **v.8** νεφέλαι ¦ νεφελε P. **v.8** ὁμίχλαι ¦ ομοχλε P. **v.8** ἐφώνουν ¦ εφονουν P. **v.8** διαδρομαὶ ¦ διαδρομε P. **v.8** διαστραπαί ¦ διαστραπε P. **v.8** με ¦ μαι P. **v.9** με ¦ μαι P. **v.9** εἰσήνεγκάν ¦ εισηνενκαν P. **v.9** οὐρανὸν ¦ ορανον P. **v.9** τείχους ¦ τιχους P. **v.9** ἐκφοβεῖν ¦ εκφοβιν P. **v.10** ἤγγισα ¦ ηνγεισα P. **v.10** λιθόπλακες ¦ λιθωπλακες P. **v.10** χιονικά ¦ χιονεικα P. **v.11** ἀστέρων ¦ αστερον P. **v.12** τειχῶν ¦ τυχων P. **v.12** καιόμεναι ¦ κεομενοι P. **v.13** οἶκον ¦ οι οικον P. **v.13** οὐκ ¦ οκ P. **v.13** με ¦ μαι P. **v.14** ἤμην σειόμενος καὶ τρέμων ¦ εμην σιομενος και τρεμον P. **v.14** ἐθεώρουν ¦ εθεορουν P. **v.14** ὁράσει ¦ ορασι P. **v.15** γλώσσαις ¦ γλωσσης P. **v.16** διαφέρων ¦ δειαφερων P. **v.16** τιμῇ ¦ τειμη P. **v.16** ὥστε ¦ ωσται P. **v.16** με ¦ μαι P. **v.17** ἀνώτερον ¦ ανωτερων P. **v.18** ἐθεώρουν ¦ εθεορουν P. **v.18** ὡσεὶ ¦ ωσυ P. **v.19** ἰδεῖν ¦ ιδιν P. **v.20** ἐπ᾽ ¦ η | η P[vid]. **v.20** περιβόλαιον ¦ περιβολεον P. **v.21** ἰδεῖν ¦ ειδειν P. **v.21** ἰδεῖν ¦ ιδιν P.

οὐδεὶς° ἐγγίζει αὐτῷ κύκλῳ μύριάι μυριάδες ἑστήκασιν ἐνώπιον
23 αὐτοῦ καὶ πᾶς λόγος αὐτοῦ ἔργον ⋄ [23] καὶ οἱ ἅγιοι τῶν ἀγγέλων
οἱ ἐγγίζοντες αὐτῷ οὐκ ἀποχωροῦσιν νυκτὸς οὔτε ἀφίσταντἀι αὐ-
24 τοῦ ⋄ [24] κἀγὼ ἤμην ἕως τούτου ἐπὶ πρόσωπόν μου βεβλημένος καὶ
τρέμων καὶ ὁ κύριος τῷ στόματι αὐτοῦ ἐκάλεσέν με καὶ εἶπέν μοι
25 πρόσελθε ὧδε ἐνὼχ καὶ τὸν λόγον μου ἄκουσον ⋄ [25] καὶ προσελθών
μοι εἷς τῶν° ἁγίων ἤγειρέν με καὶ ἔστησέν με καὶ προσήγαγέν με
μέχρι τῆς θύρας ἐγὼ δὲ τὸ πρόσωπόν μου κάτω ἔκυφον ⋄
**15** [1] καὶ ἀποκριθεὶς εἶπέν μοι ὁ ἄνθρωπος ὁ ἀληθἶνὸς ἄνθρωπος
τῆς ἀληθείας ὁ γραμματεὺς καὶ τῆς φωνῆς αὐτοῦ ἤκουσα μὴ
φοβηθῇς ἐνὼχ ἄνθρωπος ἀληθἶνὸς καὶ γραμματεὺς τῆς ἀληθείας
2 πρόσελθε ὧδε καὶ τῆς φωνῆς μου ἄκουσον ⋄ [2] πορεύθητι καὶ εἰπὲ
τοῖς πέμψασίν σε ἐρωτῆσαι ὑμᾶς ἔδει περὶ τῶν ἀνθρώπων καὶ μὴ
3 τοὺς ἀνθρώπους περὶ ὑμῶν ⋄ [3] διὰ τί ἀπελίπετἐ τὸν οὐρανὸν τὸν
ὑψηλὸν τὸν ἅγιον τοῦ αἰῶνος καὶ μετὰ τῶν γυναικῶν ἐκὀιμήθητε
καὶ μετὰ τῶν θυγατέρων τῶν ἀνθρώπων ἐμιάνθητε καὶ ἐλάβετἐ
ἑαυτοῖς γυναῖκας ὥσπερ υἱοὶ τῆς γῆς ἐποιήσατε καὶ ἐγεννήσατε
4 ἑαυτοῖς τέκνα υἱοὺς γίγαντας ⋄ [4] καὶ ὑμεῖς ἦτε ἅγιοι καὶ πνεύματα
ζῶντα αἰώνια ἐν τῷ αἵματι τῶν γυναικῶν ἐμιάνθητἐ καὶ ἐν αἵματι
σαρκὸς ἐγεννήσατε καὶ ἐν αἵματι ἀνθρώπων ἐπεθυμήσατε κα-
θὼς καὶ αὐτοὶ ποιοῦσιν σάρκα καὶ αἷμα οἵτινες ἀποθνήσκουσιν
5 καὶ ἀπόλλυντἀι ⋄ [5] διὰ τοῦτο ἔδωκα αὐτοῖς° θηλείας ἵνα σπερμα-
τίζουσιν εἰς αὐτὰς καὶ τεκνώσουσιν ἐν αὐταῖς τέκνα οὕτως ἵνα
6 μὴ ἐκλείπῃ αὐτοῖς πᾶν ἔργον ἐπὶ τῆς γῆς ⋄ [6] ὑμεῖς δὲ ὑπ̊ήρχετε
πνεύματα ζῶντα αἰώνια καὶ οὐκ ἀποθνήσκοντα εἰς πάσας τὰς γε-
7 νεὰς τοῦ αἰῶνος ⋄ [7] καὶ διὰ τοῦτο οὐκ ἐποίησα ἐν ὑμῖν° θηλείας τὰ
8 πνεύματα τοῦ οὐρανοῦ ἐν τῷ οὐρανῷ ἡ κατοίκησις αὐτῶν ⋄ [8] καὶ
νῦν οἱ γίγαντες οἱ γεννηθέντες ἀπὸ τῶν πνευμάτων καὶ σαρκὸς
πνεύματα ἰσχυρὰ ἐπὶ τῆς γῆς καὶ ἐν τῇ γῇ ἡ κατοίκησις αὐτῶν
9 ἔσται ⋄ [9] πνεύματα πονηρὰ ἐξῆλθὀν ἀπὸ τοῦ σώματος αὐτῶν διότι
ἀπὸ τῶν ἀνὠτέρων ἐγένοντο καὶ ἐκ τῶν ἁγίων ἐγρηγόρων ἡ ἀρχὴ
τῆς κτίσεως αὐτῶν καὶ ἀρχὴ θεμελίου πνεύματα πονηρὰ κληθή-
10 σετἀι ⋄ [10] πνεύματα οὐρανοῦ ἐν τῷ οὐρανῷ ἡ κατοίκησις αὐτῶν
ἔσται καὶ τὰ πνεύματα ἐπὶ τῆς γῆς τὰ γεννηθέντα ἐπὶ τῆς γῆς ἡ
11 κατοίκησις αὐτῶν ἔσται ⋄ [11] καὶ τὰ πνεύματα τῶν γιγάντων νεφέ-

---

**v.22** οὐδεὶς ἐγγίζει ¦ ουδις εγγιζι P. **v.22** μύριαι ¦ μυριε P. **v.23** ἐγγίζοντες ¦ ενγιζοντες P. **v.23** ἀφίστανται ¦ αφισταντε P. **v.25** τῶν ἁγίων ¦ τον αγιον P. **15. v.1** ἀληθινὸς ¦ αληθεινος P. **v.3** ἀπελίπετε ¦ απελειπεται P. **v.3** ἐκοιμήθητε ¦ εκυμηθηται P. **v.3** ἐλάβετε ¦ ελαβεται P. **v.4** ἐμιάνθητε ¦ εμιανθηται P. **v.4** ἀπόλλυνται ¦ απολλυντε P. **v.5** αὐτοῖς θηλείας ¦ αυταις θηλιας P. **v.5** ἐκλείπῃ ¦ εκλειπει P. **v.6** ὑπήρχετε ¦ υπερχετε P. **v.7** ὑμῖν θηλείας ¦ υμειν θηλιας P. **v.9** ἐξῆλθον ¦ εξελθων P. **v.9** ἀνωτέρων ¦ ανοτερων P. **v.9** κληθήσεται ¦ κληθησετε P.

λας ἀδικοῦντα ἀφανίζοντα καὶ ἐνπίπτοντα καὶ συνπαλαίοντα καὶ
συνρίπτοντα ἐπὶ τῆς γῆς πνεύματα σκληρὰ γιγάντων καὶ δρό-
μους ποιοῦντα καὶ μηδὲν ἐσθίοντα ἀλλ᾽ ἀσιτοῦντα καὶ διψῶντα
καὶ προσκόπτοντα πνεύματα ✧ [12] καὶ ἐξαναστήσει ταῦτα εἰς τοὺς 12
υἱοὺς τῶν ἀνθρώπων καὶ τῶν γυναικῶν ὅτι ἐξεληλύθασιν ἀπ᾽ αὐ-
τῶν ✧

[1] ἀπὸ ἡμέρας σφαγῆς καὶ ἀπωλείας καὶ θανάτου ἀφ᾽ ὧν τὰ **16**
πνεύματα ἐκπορευόμενα ἐκ τῆς ψυχῆς τῆς σαρκὸς αὐτῶν ἔσται
ἀφανίζοντα χωρὶς κρίσεως οὕτως ἀφανίσουσιν μέχρις ἡμέρας τε-
λειώσεως τῆς κρίσεως τῆς μεγάλης ἐν ᾗ ὁ αἰὼν ὁ μέγας τελε-
σθήσεται ✧ [2] καὶ νῦν ἐγρηγόροις τοῖς πέμψασίν σε ἐρωτῆσαι περὶ 2
αὐτῶν οἵτινες ἐν οὐρανῷ ἦσαν ✧ [3] ὑμεῖς ἐν τῷ οὐρανῷ ἦτε καὶ πᾶν 3
μυστήριον ὃ οὐκ ἀνεκαλύφθη ὑμῖν καὶ μυστήριον τὸ ἐκ τοῦ θε-
οῦ γεγενημένον ἔγνωτε καὶ τοῦτο ἐμηνύσατε ταῖς γυναιξὶν ἐν ταῖς
σκληροκαρδίαις ὑμῶν καὶ ἐν τῷ μυστηρίῳ τούτῳ πληθύνουσιν αἱ
θήλειαι καὶ οἱ ἄνθρωποι τὰ κακὰ ἐπὶ τῆς γῆς ✧ [4] εἶπον οὖν αὐτοῖς 4
οὐκ ἔστιν εἰρήνη ✧

[1] καὶ παραλαβόντες μὲ εἴς τινα τόπον ἀπήγαγον ἐν ᾧ οἱ ὄντες **17**
ἐκεῖ γίνονται ὡς πῦρ φλέγον καὶ ὅταν θέλωσιν φαίνονται ὡσεὶ ἄν-
θρωποι ✧ [2] καὶ ἀπήγαγόν μὲ εἰς ζοφώδη τόπον καὶ εἰς ὄρος οὗ ἡ 2
κεφαλὴ ἀφικνεῖτο εἰς τὸν οὐρανόν ✧ [3] καὶ εἶδον τόπον τῶν φωστή- 3
ρων καὶ τοὺς θησαυροὺς τῶν ἀστέρων καὶ τῶν βροντῶν καὶ εἰς τὰ
ἀεροβαθῆ ὅπου τόξον πυρὸς καὶ τὰ βέλη καὶ αἱ° θῆκαι αὐτῶν καὶ
αἱ° ἀστραπαὶ πᾶσαι ✧ [4] καὶ ἀπήγαγόν μὲ μέχρι ὑδάτων ζώντων καὶ 4
μέχρι πυρὸς δύσεως ὅ ἐστιν καὶ παρέχον πάσας τὰς δύσεις τοῦ
ἡλίου ✧ [5] καὶ ἤλθομεν μέχρι ποταμοῦ πυρὸς ἐν ᾧ κατατρέχει τὸ 5
πῦρ ὡς ὕδωρ καὶ ῥέει εἰς θάλασσαν μεγάλην δύσεως ✧ [6] ἴδον τοὺς 6
μεγάλους ποταμοὺς καὶ μέχρι τοῦ μεγάλου ποταμοῦ καὶ μέχρι
τοῦ μεγάλου σκότους κατήντησα καὶ ἀπῆλθον ὅπου πᾶσα σὰρξ
οὐ περιπατεῖ ✧ [7] ἴδον τοὺς ἀνέμους τῶν γνόφων τοὺς χειμερινοὺς 7
καὶ τὴν ἔκχυσιν τῆς ἀβύσσου πάντων ὑδάτων ✧ [8] ἴδον τὸ στόμα τῆς 8
γῆς πάντων τῶν ποταμῶν καὶ τὸ στόμα τῆς ἀβύσσου ✧

[1] ἴδον τοὺς θησαυροὺς τῶν ἀνέμων πάντων ἴδον ὅτι ἐν αὐτοῖς **18**
ἐκόσμησεν πάσας τὰς κτίσεις καὶ τὸν θεμέλιον τῆς γῆς καὶ τὸν
λίθον ἴδον τῆς γωνίας τῆς γῆς ✧ [2] ἴδον τοὺς τέσσαρας ἀνέμους 2

---

**v.11** συνπαλαίοντα ¦ συνπαλεοντα P. **v.11** ἐσθίοντα ¦ εσθειον P. **v.11** διψῶντα ¦ δειψωντα P. **v.12** ἐξαναστήσει ¦ εξαναστησι P. **16. v.1** ἀφανίζοντα ¦ αφανειζοντα P. **v.1** ἀφανίσουσιν ¦ αφανησουσιν P. **v.1** τελειώσεως ¦ τελιωσεως P. **v.3** ἐμηνύσατε ¦ εμενυσατε P. **v.3** τούτῳ ¦ τουτο P. **v.3** θήλειαι ¦ θηλιαι P. **17. v.1** με ¦ μαι P. **v.1** φλέγον ¦ φλεγων P. **v.2** με ¦ μαι P. **v.2** ἀφικνεῖτο ¦ αφικνυτο P. **v.3** θησαυροὺς ¦ θησαυρος P. **v.3** αἱ θῆκαι ¦ τας θηκας P. **v.3** αἱ ἀστραπαὶ πᾶσαι ¦ τας αστραπας πασας P. **v.4** με ¦ μαι P. **v.4** παρέχον ¦ παρεχων P. **v.4** δύσεις ¦ δυσις P. **v.6** ποταμοὺς ¦ ποταμου P. **v.6** οὐ ¦ ∅ (?).

3 τὴν γῆν βαστάζοντας καὶ τὸ στερέῶμα τοῦ οὐρανοῦ ⋄ [3]καὶ αὐ-
4 τοὶ ἱστᾶσιν μεταξὺ γῆς καὶ οὐρανοῦ ⋄ [4]ἴδον ἀνέμους τῶν οὐρανῶν
στρέφοντας καὶ διανύοντας τὸν τροχὸν τοῦ ἡλίου καὶ πάντας τοὺς
5 ἀστέρας ⋄ [5]ἴδον τοὺς ἐπὶ τῆς γῆς ἀνέμους βαστάζοντας ἐν νεφέλῃ
6 ἴδον πέρατα τῆς γῆς τὸ στήριγμα τοῦ οὐρανοῦ ἐπάνω ⋄ [6]παρῆλ-
θον καὶ ἴδον τόπον κα̊ιόμενον νυκτὸς καὶ ἡμέρας ὅπου τὰ ἑπτὰ
ὄρη ἀπὸ λίθων πολυτελῶν τ̊ρία εἰς ἀνατολὰς καὶ τρία̊ εἰς νότον
7 βάλλοντα̊ ⋄ [7]καὶ τὰ μὲν πρὸς ἀνατολὰς ἀπὸ λίθου χρώματος τὸ
δὲ ἦν ἀπὸ λίθου μαργαρίτου καὶ τὸ ἀπὸ λίθου ταθὲν τὸ δὲ κατὰ
8 νότον ἀπὸ λίθου πυρροῦ ⋄ [8]τὸ δὲ μέσον αὐτῶν ἦν εἰς οὐρανὸν ὥ-
σπερ θρ̊όνος θεοῦ ἀπὸ λίθου φουκὰ καὶ ἡ κορυφὴ τοῦ θρόνου
9 ἀπὸ λίθου σαφφε̊ίρου ⋄ [9]καὶ πῦρ κα̊ιόμενον ἴδον κα̊π̊έκεινα τῶν
10 ὀρέων τούτων ⋄ [10]τόπος ἐστὶν πέρας τῆς μεγάλης γῆς ἐκεῖ συντε-
11 λεσθήσονται οἱ οὐρανοί ⋄ [11]καὶ ἴδον χάσμα μέγα εἰς τοὺς στύλου̊ς
τοῦ πυρὸς καταβαίνοντας καὶ οὐκ ἦν μέτρον οὔτε εἰς βάθος οὔτε
12 εἰς ὕψος ⋄ [12]καὶ ἐπέκεινα τοῦ χάσματος τούτου ἴδον τόπον ὅπου
οὐδὲ στερέωμα οὐρανοῦ ἐπάνω οὔτε γῆ ᾗ° τεθεμελιωμένη ὑπο-
κάτω αὐτοῦ οὔτε ὕδωρ ἦν ὑπὸ αὐτὸ οὔτε πετεινὸν ἀλλὰ τόπος
13 ἦν ἔρημος καὶ φοβερός ⋄ [13]ἐκεῖ ἴδον ἑπτὰ ἀστέρας ὡς ὄρη μεγάλα
14 κα̊ιόμενα περὶ ὧν πυ̊νθανομένῳ μοι ⋄ [14]εἶπεν ὁ ἄγγελος οὗτός ἐ-
στιν ὁ τόπος τὸ τέλος τοῦ οὐρανοῦ καὶ γῆς δεσμωτήριον τοῦτο
15 ἐγένετο τοῖς ἄστροις καὶ ταῖς δυνάμεσιν τοῦ οὐρανοῦ ⋄ [15]καὶ οἱ
ἀστέρες οἱ κυ̊λιόμενοι ἐν τῷ πυρὶ οὗτοί εἰσιν οἱ παραβ̊άντες πρό-
σταγμα κυρίου ἐν ἀρχῇ τῆς ἀνατολῆς αὐτῶν ὅτι τόπος ἔξω τοῦ
16 οὐρανοῦ κενός ἐστιν ὅτι οὐκ ἐξῆλθαν ἐν τοῖς καιροῖς αὐτῶν ⋄ [16]καὶ
ὀργίσθη αὐτοῖς καὶ ἔδησεν αὐτοὺς μέχρι καιροῦ τελε̊ιώσεως αὐ-
τῶν ἁμαρτία̊ς ἐνιαυτῶν μυρίων ⋄

**19** [1]καὶ εἶπέν μοι οὐριὴλ ἐνθάδε οἱ μιγέντες ἄγγελοι ταῖς γυ-
ναιξὶν στήσονται καὶ τὰ πνεύματα αὐτῶν πολύμορφα γενόμενα
λυμα̊ίνεται τοὺς ἀνθρώπους καὶ πλανήσε̊ι αὐτοὺς ἐπιθύειν τοῖς
δαιμονίοις μέχρι τῆς μεγάλης κρίσεως ἐν ᾗ κριθήσονται εἰς ἀπο-
2 τελε̊ίωσιν ⋄ [2]καὶ αἱ γυναῖκες αὐτῶν τῶν παραβάντων ἀγγέλων εἰς
3 σε̊ιρῆνας γενήσονται ⋄ [3]κἀγὼ ἐνὼχ ἴδον τὰ θεωρήματα μόνος τὰ
πέρατα πάντων καὶ οὐ μὴ ἴδῃ οὐδὲ εἷς ἀνθρώπων° ὡς ἐγὼ ἴδον ⋄

**18. v.2** στερέωμα ¦ στεριγμα P. **v.3** ἱστᾶσιν ¦ ειστασιν P. **v.4** διανύοντας ¦ διανευοντας P. **v.6** καιόμενον ¦ κεομενον P. **v.6** τρία ¦ ∅ P. **v.6** τρία ¦ τρις P. **v.6** βάλλοντα ¦ βαλλοντας P. **v.8** θρόνος ¦ θνος P. **v.8** σαφφείρου ¦ σαφφιρου P. **v.9** καιόμενον ¦ κεομενον P. **v.9** κἀπέκεινα ¦ κακεινα P. **v.11** στύλους ¦ στυλος P. **v.12** ᾗ τεθεμελιωμένη ¦ την τεθεμελιωμενην P. **v.13** καιόμενα ¦ κεομενα P. **v.13** πυνθανομένῳ ¦ πυ | θανομαιον P. **v.15** κυλιόμενοι ¦ κοιλιομενοι P. **v.15** παραβάντες ¦ παραβοντες P. **v.16** τελειώσεως ¦ τελιωσεως P. **v.16** ἁμαρτίας ¦ αμαρτιας αυτων P. **19. v.1** λυμαίνεται ¦ λυμενεται P. **v.1** πλανήσει ¦ πλανησι P. **v.1** ἀποτελείωσιν ¦ αποτελιωσιν P. **v.2** σειρῆνας ¦ σιρηνας P. **v.3** ἀνθρώπων ὡς ἐγὼ ¦ ανθρωπον ος ιω $P^1$.

[1]ἄγγελοι τῶν δυνάμεων ⸭ [2]οὐριὴλ ὁ° εἷς τῶν ἁγίων ἀγγέλων **20**, 2
ὁ ἐπὶ τοῦ κόσμου καὶ τοῦ ταρτάρου ⸭ [3]ῥαφαὴλ ὁ εἷς τῶν ἁγίων 3
ἀγγέλων ὁ ἐπὶ τῶν πνευμάτων τῶν ἀνθρώπων ⸭ [4]ῥαγουὴλ ὁ εἷς τῶν 4
ἁγίων ἀγγέλων ὁ ἐκδικῶν τὸν κόσμον τῶν φωστήρων ⸭ [5]μιχαὴλ ὁ 5
εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τῶν τοῦ λαοῦ ἀγαθῶν τεταγμένος
καὶ ἐπὶ τῷ χάῳ ⸭ [6]σαριὴλ ὁ εἷς τῶν° ἁγίων ἀγγέλων ὁ ἐπὶ τῶν 6
πνευμάτων οἵτινες° ἐπὶ τῷ πνεύματι ἁμαρτάνουσιν ⸭ [7]γαβριὴλ ὁ 7
εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τοῦ παραδείσου καὶ τῶν δρακόντων
καὶ χερουβεὶν ἀρχαγγέλων ὀνόματα ἑπτά ⸭

[1]καὶ ἐφώδευσα ἕως τῆς ἀκατασκευάστου ⸭ [2]κἀκεῖ ἐθεασάμην **21**, 2
ἔργον φοβερὸν ἑώρακα οὔτε οὐρανὸν ἐπάνω οὔτε γῆν τεθέαμαι
τεθεμελιωμένην ἀλλὰ τόπον ἀκατασκεύαστον καὶ φοβερόν ⸭ [3]καὶ 3
ἐκεῖ τεθέαμαι ἑπτὰ τῶν ἀστέρων τοῦ οὐρανοῦ δεδεμένους καὶ
ἐρριμμένους ἐν αὐτῷ ὁμοίους ὄρεσιν μεγάλοις καὶ ἐν πυρὶ καιο-
μένους ⸭ [4]τότε εἶπον διὰ ποίαν αἰτίαν ἐπεδέθησαν καὶ διὰ τί ὧδε 4
ἐρίφησαν ⸭ [5]τότε εἶπέν μοι οὐριὴλ ὁ εἷς τῶν° ἁγίων ἀγγέλων ὃς 5
μετ᾽ ἐμοῦ ἦν καὶ αὐτὸς ἡγεῖτο αὐτῶν καὶ εἶπέν μοι ἐνὼχ περὶ τί-
νος ἐρωτᾷς ἢ περὶ τίνος τὴν ἀλήθειαν° φιλοσπευδεῖς ⸭ [6]οὗτοί εἰσιν 6
τῶν ἀστέρων τοῦ οὐρανοῦ οἱ παραβάντες τὴν ἐπιταγὴν τοῦ κυρίου
καὶ ἐδέθησαν ὧδε μέχρι τοῦ πληρῶσαι μύρια ἔτη τὸν χρόνον τῶν
ἁμαρτημάτων αὐτῶν ⸭ [7]κἀκεῖθεν ἐφώδευσα εἰς ἄλλον τόπον τού- 7
του φοβερώτερον καὶ τεθέαμαι ἔργα φοβερώτερα πῦρ μέγα ἐκεῖ
καιόμενον καὶ φλεγόμενον καὶ διακοπὴν εἶχεν ὁ τόπος ἕως τῆς
ἀβύσσου πλήρης στύλων πυρὸς μεγάλου καταφερομένων οὔτε
μέτρον οὔτε πλάτος ἠδυνήθην ἰδεῖν οὐδὲ εἰκάσαι ⸭ [8]τότε εἶπον ὡς 8
φοβερὸς ὁ τόπος καὶ ὡς δεινὸς τῇ ὁράσει ⸭ [9]τότε ἀπεκρίθη μοι ὁ 9
εἷς τῶν ἁγίων ἀγγέλων ὃς μετ᾽ ἐμοῦ ἦν καὶ εἶπέν μοι ἐνὼχ διὰ
τί ἐφοβήθης οὕτως καὶ ἐπτοήθης καὶ ἀπεκρίθην περὶ τούτου τοῦ
φοβεροῦ καὶ περὶ τῆς προσόψεως τῆς δεινῆς ⸭ [10]καὶ εἶπεν οὗτος 10
ὁ τόπος δεσμωτήριον ἀγγέλων ὧδε συνσχεθήσονται μέχρι αἰῶνος
εἰς τὸν αἰῶνα ⸭

---

**20. v.2** ὁ ¦ ως $P^1$. **v.2** ἀγγέλων ¦ αγγελον $P^1$. **v.2** ἐπὶ ¦ επει $P^1$. **v.3** ἐπὶ ¦ επει $P^1$. **v.4** τῶν ¦ τον $P^1$. **v.4** ἐκδικῶν ¦ εκεκων P (? ΕΚΑΙΚΩΝ vs ΕΚΔΙΚΩΝ). **v.5** μιχαὴλ ¦ μηχαηλ $P^1$. **v.5** τῶν ¦ τον $P^1$. **v.5** ἐπὶ ¦ επει $P^1$. **v.6** τῶν ἁγίων ¦ το αγιον $P^1$. **v.6** οἵτινες ἐπὶ ¦ οιτεινες επει $P^1$. **v.7** τῶν ¦ τον $P^1$. **v.7** ἐπὶ ¦ επει $P^1$. **v.7** παραδείσου ¦ παραδισου P $P^1$. **v.7** χερουβεὶν ¦ χερουβει P. **21. v.1** ἕως ¦ μεχρει $P^1$. **v.1** ἀκατασκευάστου ¦ ακατατασκευαστου $P^1$. **v.2** οὔτε ¦ οτε $P^1$. **v.3** τεθέαμαι ¦ τεθεαμε $P^1$. **v.3** ὄρεσιν ¦ ορασιν P. **v.3** καιομένους ¦ κεομενους P $P^1$. **v.4** αἰτίαν ¦ αιτειαν $P^1$. **v.4** ἐπεδέθησαν ¦ επαιδεθησαν P ¦ επηδηθησαν $P^1$. **v.5** τῶν ἁγίων ¦ τον αγιον $P^1$. **v.5** ἡγεῖτο ¦ ηγιτο $P^1$. **v.5** ἀλήθειαν φιλοσπευδεῖς ¦ αληθιαν φιλοσπε$^{υ}$δις $P^1$. **v.6** μέχρι ¦ μεχρει P $P^1$. **v.7** τεθέαμαι ¦ τεθεαμε $P^1$. **v.7** καιόμενον ¦ κεομενον P. **v.7** στύλων ¦ στυλλων P $P^1$. **v.7** καταφερομένων ¦ καταφαιρομενων P. **v.7** ἰδεῖν ¦ ειδιν P $P^1$. **v.8** φοβερὸς ¦ φοβηρος $P^1$. **v.8** ὁράσει ¦ ορασι P $P^1$. **v.9** ἀπεκρίθη ¦ απεκρειθη $P^1$. **v.9** ἀπεκρίθην ¦ απεκρειθην P. **v.10** δεσμωτήριον ¦ δεσμοτηριων P. **v.10** συνσχεθήσονται ¦ συνσχηθησοντε P. **v.10** αἰῶνος ¦ ενος P.

**22** [1] κἀκεῖθεν ἐφώδευσα εἰς ἄλλον τόπον καὶ ἔδειξέν μοι πρὸς δυ-
2 σμὰς ἄλλο ὄρος μέγα καὶ ὑψηλὸν πέτρας στερεάς ⋄ [2] καὶ τέσσαρες
τόποι ἐν αὐτῷ κοῖλοι βάθος ἔχοντες καὶ λίαν° λεῖοι τρεῖς αὐτῶν
σκοτινοὶ καὶ εἷς φωτινὸς καὶ πηγὴ ὕδατος ἀνὰ μέσον αὐτοῦ καὶ
εἶπον πῶς λεῖα τὰ κοιλώματα ταῦτα καὶ ὁλοβαθῆ καὶ σκοτινὰ τῇ
3 ὁράσει ⋄ [3] τότε ἀπεκρίθη ῥαφαὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃς μετ᾽
ἐμοῦ ἦν καὶ εἶπέν μοι οὗτοι οἱ τόποι οἱ κοῖλοι ἵνα ἐπισυνάγωνται
εἰς αὐτοὺς τὰ πνεύματα τῶν ψυχῶν τῶν νεκρῶν εἰς αὐτὸ τοῦτο
ἐκρίθησαν ὧδε ἐπισυνάγεσθαι πάσας τὰς ψυχὰς τῶν ἀνθρώπων ⋄
4 [4] καὶ οὗτοι οἱ τόποι εἰς ἐπισύνσχεσιν αὐτῶν ἐποίησαν μέχρι τῆς
ἡμέρας τῆς κρίσεως αὐτῶν καὶ μέχρι τοῦ διορισμοῦ καὶ διορι-
5 σμένου χρόνου ἐν ᾧ ἡ κρίσις ἡ μεγάλη ἔσται ἐν αὐτοῖς ⋄ [5] τεθέα-
μαι ἀνθρώπους νεκροὺς ἐντυγχάνοντας καὶ ἡ φωνὴ αὐτοῦ μέχρι
6 τοῦ οὐρανοῦ προέβαινεν καὶ ἐνετύγχανεν ⋄ [6] καὶ ἠρώτησα ῥαφα-
ὴλ τὸν ἄγγελον ὃς μετ᾽ ἐμοῦ ἦν καὶ εἶπα αὐτῷ τοῦτο τὸ πνεῦμα
τὸ ἐντυγχάνον τίνος ἐστιν δι᾽ ὃ οὕτως ἡ φωνὴ αὐτοῦ προβαίνει
7 καὶ ἐντυγχάνει ἕως τοῦ οὐρανοῦ ⋄ [7] καὶ ἀπεκρίθη μοι λέγων τοῦτο
τὸ πνεῦμά ἐστιν τὸ ἐξελθὸν ἀπὸ ἅβελ ὃν ἐφόνευσε κάειν ὁ ἀ-
δελφὸς καὶ ἅβελ ἐντυγχάνει περὶ αὐτοῦ μέχρι τοῦ ἀπολέσαι τὸ
σπέρμα αὐτοῦ ἀπὸ προσώπου τῆς γῆς καὶ ἀπὸ τοῦ σπέρματος
8 τῶν ἀνθρώπων ἀφανίσθη τὸ σπέρμα αὐτοῦ ⋄ [8] τότε ἠρώτησα περὶ
τῶν κυκλωμάτων πάντων διὰ τί ἐχωρίσθησαν ἓν° ἀπὸ τοῦ ἑνός ⋄
9 [9] καὶ ἀπεκρίθη μοι λέγων οὗτοι οἱ τρεῖς ἐποιήθησαν χωρίζεσθαι
τὰ πνεύματα τῶν νεκρῶν καὶ οὕτως ἐχωρίσθη εἰς τὰ πνεύματα
10 τῶν δικαίων οὗ ἡ πηγὴ τοῦ ὕδατος ἐν αὐτῷ φωτινή ⋄ [10] καὶ οὕ-
τως ἐκτίσθη τῶν ἁμαρτωλῶν ὅταν ἀποθάνωσιν καὶ ταφῶσιν εἰς
τὴν γῆν καὶ κρίσις οὐκ ἐγενήθη ἐπ᾽ αὐτῶν ἐν τῇ ζωῇ αὐτῶν ⋄
11 [11] ὧδε χωρίζεσθαι τὰ πνεύματα αὐτῶν εἰς τὴν μεγάλην βάσανον
ταύτην μέχρι τῆς μεγάλης ἡμέρας τῆς κρίσεως τῶν μαστίγων καὶ
τῶν βασάνων τῶν κατηραμένων μέχρι αἰῶνος ἦν ἀνταπόδοσις τῶν
12 πνευμάτων ἐκεῖ δήσει αὐτοὺς μέχρις αἰῶνος ⋄ [12] καὶ οὕτως ἐχωρί-
σθη τοῖς πνεύμασιν τῶν ἐντυγχανόντων οἵτινες ἐνφανίζουσιν περὶ
τῆς ἀπωλείας ὅταν φονευθῶσιν ἐν ταῖς ἡμέραις τῶν ἁμαρτωλῶν ⋄
13 [13] καὶ οὕτως ἐκτίσθη τοῖς πνεύμασιν τῶν ἀνθρώπων ὅσοι οὐκ ἔ-
σονται ὅσιοι ἀλλὰ ἁμαρτωλοὶ ὅσοι ἀσεβεῖς καὶ μετὰ τῶν ἀνόμων

---

**22. v.1** στερεάς ¦ ειστερεας P. **v.2** τέσσαρες ¦ τεσσαροις P$^{vid}$. **v.2** λίαν λεῖοι τρεῖς ¦ λειαν λιοι τρις P. **v.2** σκοτινοί ¦ εισκοτινοι P. **v.2** λεῖα ¦ λια P. **v.2** σκοτινὰ ¦ σκοτεινα P. **v.2** ὁράσει ¦ ορασι P. **v.3** ἐπισυνάγωνται ¦ επισυναγονται P. **v.3** ἐκρίθησαν ¦ εκρειθησαν P. **v.4** ἐπισύνσχεσιν ¦ επισυνσχεσι P. **v.5** ἐντυγχάνοντας ¦ εντυγχανοντος P. **v.5** προέβαινεν ¦ προεβενεν P. **v.6** ἠρώτησα ¦ ηρωτησεν P. **v.6** προβαίνει ¦ προβεννι P. **v.7** ἀπεκρίθη ¦ απεκρειθη P. **v.7** ἐξελθὸν ¦ εξελθων P. **v.8** ἓν ἀπὸ τοῦ ἑνός ¦ ην απο του αιωνος P. **v.9** τρεῖς ¦ τρις P. **v.9** ἐχωρίσθη ¦ χωρισθη P. **v.10** κρίσις ¦ κρισεις P. **v.11** χωρίζεται ¦ χωρειζεται P. **v.11** ἀνταπόδοσις ¦ ανταποδοσεις P.

ἔσονται μέτοχοι τὰ δὲ πνεύματι ὅτι οἱ ἐνθάδε θλῖβέντες ἔλαττον
κολάζονται αὐτῶν οὐ τῖμωρηθήσονται ἐν ἡμέρᾳ τῆς κρίσεως οὐδὲ
μὴ μετεγερθῶσιν ἐντεῦθεν ⋄ 14 τότε ηὐλόγησα τὸν κύριον τῆς δό- 14
ξης καὶ εἶπα εὐλογητὸς εἶ κύριε ὁ τῆς δικαιοσύνης κυριεύων τοῦ
αἰῶνος ⋄

1 κἀκεῖθεν ἐφώδευσα εἰς ἄλλον τόπον πρὸς δυσμὰς τῶν περά- **23**
των τῆς γῆς ⋄ 2 καὶ ἐθεασάμην πῦρ διατρέχὸν καὶ οὐκ ἀναπåυόμενον 2
οὐδὲ ἐνλεῖπον τοῦ δρόμου ἡμέρας καὶ νυκτὸς ἅμα διαμένον ⋄
3 καὶ ἠρώτησα λέγων τί ἐστιν τὸ μὴ ἔχὸν ἀνάπαυσιν ⋄ 4 τότε ἀπε- 3, 4
κρίθη μοι ῥαγουὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃς μετ᾽ ἐμοῦ ἦν οὗτος
ὁ δρόμος τοῦ πυρὸς τὸ πρὸς δυσμὰς πῦρ τὸ ἐκδιῶκόν ἐστιν πάν-
τας τοὺς φωστῆρας τοῦ οὐρανοῦ ⋄

1 καὶ ἔδειξέν μοι ὄρη πυρὸς καιόμενα νυκτός ⋄ 2 καὶ ἐπέκεινα **24**, 2
αὐτῶν ἐπορεύθην καὶ ἐθεασάμην ἑπτὰ ὄρη ἔνδοξα πάντα ἑκά-
τερα τοῦ ἑκατέρου διαλλάσσοντα ὧν οἱ λίθοι ἔντιμοι τῇ καλλονῇ
καὶ πάντα ἔντιμα καὶ ἔνδοξα καὶ εὐειδῆ τρία° ἐπ᾽ ἀνατολὰς ἐσ-
τηριγμένα ἐν τῷ ἑνὶ καὶ τρία ἐπὶ νότον ἐν τῷ ἑνὶ καὶ φάραγγες
βαθεῖαι καὶ τραχεῖαι μία τῇ μιᾷ οὐκ ἐγγίζουσαι ⋄ 3 καὶ τῷ ὄρει 3
ἕβδομον ὄρος ἀνὰ μέσον τούτων καὶ ὑπερεῖχεν τῷ ὕψει ὅμοιον
καθέδρᾳ θρόνου καὶ περιεκύκλου δένδρα αὐτῷ εὐειδῆ ⋄ 4 καὶ ἦν 4
ἐν αὐτοῖς δένδρον ὃ οὐδέποτε ὠσφράνμαι καὶ οὐδεὶς ἕτερος αὐτῷ
ηὐφράνθη καὶ οὐδὲν ἕτερον ὅμοιον αὐτῷ ὀσμὴν εἶχεν εὐωδε-
στέραν πάντων ἀρωμάτων καὶ τὰ φύλλα αὐτοῦ καὶ τὸ ἄνθος καὶ
τὸ δένδρον οὐ φθίνει εἰς τὸν αἰῶνα οἱ δὲ περὶ τὸν καρπὸν ὡσεὶ
βότρυες φοινίκων ⋄ 5 τότε εἶπον ὡς καλὸν τὸ δένδρον τοῦτό ἐστιν 5
καὶ εὐῶδες καὶ ὡραῖα τὰ φύλλα καὶ τὰ ἄνθη αὐτοῦ ὡραῖα τῇ ὁ-
ράσει ⋄ 6 τότε ἀπεκρίθη μοι μιχαὴλ εἷς τῶν ἁγίων ἀγγέλων ὃς μετ᾽ 6
ἐμοῦ ἦν καὶ αὐτὸς αὐτῶν ἡγεῖτο ⋄

1 καὶ εἶπέν μοι ἑνὼχ τί ἐρωτᾷς καὶ τί ἐθαύμασας ἐν τῇ ὀσμῇ τοῦ **25**
δένδρου καὶ διὰ τί θέλεις τὴν ἀλήθειαν μαθεῖν ⋄ 2 τότε ἀπεκρίθην 2
αὐτῷ περὶ πάντων εἰδέναι θέλω μάλιστα δὲ περὶ τοῦ δένδρου τού-
του σφόδρα ⋄ 3 καὶ ἀπεκρίθη λέγων τοῦτο τὸ ὄρος τὸ ὑψηλὸν οὗ 3
ἡ κορυφὴ ὁμοία θρόνου θεοῦ καθέδρα ἐστίν οὗ καθίζει ὁ μέγας
κύριος ὁ ἅγιος τῆς δόξης ὁ βασιλεὺς τοῦ αἰῶνος ὅταν καταβῇ ἐπι-

---

**v.13** θλιβέντες ¦ θλειβεντες P. **v.13** τιμωρηθήσονται ¦ τειμωρηθησονται P. **23. v.2** διατρέχον ¦ διατρεχων P. **v.2** ἀναπαυόμενον ¦ αναπεομενον P. **v.2** ἐνλεῖπον ¦ ελλειπον (?). **v.3** ἔχον ¦ εχων P. **v.4** ἐκδιῶκόν ¦ εκδιωκων P. **24. v.1** ἔδειξέν ¦ εδιξεν P. **v.1** καιόμενα ¦ κεομενα P. **v.2** καλλονῇ ¦ καλλωνη P. **v.2** τρία ἐπ᾽ ¦ ∅ P. **v.2** ἐστηριγμένα ¦ εστεριγμενα P. **v.2** φάραγγες ¦ φαρανγες P. **v.2** τραχεῖαι ¦ τραχιαι P. **v.2** ἐγγίζουσαι ¦ ενγειζουσαι P. **v.3** ὄρει ¦ ορι P. **v.3** ὕψει ¦ υψι P. **v.3** θρόνου ¦ θρουνου P. **v.4** αὐτῷ ¦ αυτων P. **v.4** εὐωδεστέραν ¦ ευωδεστερον P. **v.4** φθίνει ¦ φθεινι P. **v.5** ὡραῖα ¦ ωρεα P. **v.5** ὁράσει ¦ ορασι P. **25. v.2** ἀπεκρίθην ¦ απεκρειθη P. **v.3** καθίζει ¦ καθειζει P.

4 σκέψασθαι τὴν γῆν ἐπ᾽ ἀγαθῷ ✧ [4] καὶ τοῦτο τὸ δένδρον εὐὼδίας καὶ
οὐδεμία σὰρξ ἐξουσίαν ἔχει ἅψασθαι αὐτοῦ μέχρι τῆς μεγάλης
κρίσεως ἐν̊ ᾗ̊ ἐκ̊δίκησις πάντων καὶ τελείωσις μέχρις αἰῶνος τότε
5 δικαίοις καὶ ὁσίοις δοθήσεται ✧ [5] ὁ καρπὸς αὐτοῦ τοῖς ἐκλεκτοῖς
εἰς ζωὴν εἰς βορὰν καὶ μεταφυτευθήσεται ἐν τόπῳ ἁγίῳ παρὰ τὸν
6 οἶκον τοῦ θεοῦ βασιλέῶς τοῦ αἰῶνος ✧ [6] τότε εὐφρανθήσονται εὐ-
φραινόμενοι καὶ χαρ̊ήσονται καὶ εἰς τὸ ἅγιον εἰσελεύσονται αἱ
ὀσμα̊ὶ αὐτοῦ ἐν τοῖς ὀστ̊έοις αὐτῶν καὶ ζωὴν πλείονα ζήσονται
ἐπὶ γῆς ἣν ἔζησαν οἱ πατέρες σου καὶ ἐν ταῖς ἡμέραις αὐτῶν καὶ
7 βάσανοι καὶ πληγαὶ καὶ μάστ̊ιγες οὐχ ἅψονται αὐτῶν ✧ [7] τότε ηὐ-
λόγησα̊ τὸν θεὸν τῆς δόξης τὸν βασιλέα τοῦ αἰῶνος ὃς ἡτοίμασεν
ἀνθρώποις τὰ τοιαῦτα δικαίοις καὶ αὐτὰ ἔκτισεν καὶ εἶπεν δοῦναι
αὐτοῖς ✧

**26** [1] καὶ ἐκεῖθεν ἐφώδευσα εἰς τὸ μέσον τῆς γῆς καὶ ἴδον τόπον ηὐ-
λογημένον ἐν ᾧ̊ δένδρα ἔχοντα παραφυάδας μενούσας καὶ βλα-
2 στούσας τοῦ δένδρου ἐκκοπέντος ✧ [2] κἀκεῖ τεθέαμα̊ι ὄρος ἅγιον
ὑποκάτω τοῦ ὄρους ὕδωρ ἐξ ἀνατολῶν καὶ τὴν δύσιν εἶχεν πρὸς
3 νότον ✧ [3] καὶ ἴδον πρὸς ἀνατολὰς ἄλλο ὄρος ὑψηλότερον τούτου
καὶ ἀνὰ μέσον αὐτοῦ φάραγ̊γα βαθεῖαν οὐκ ἔχουσαν πλάτος καὶ
4 δι᾽ αὐτῆς ὕδωρ πορεύεται ὑποκάτω ὑπὸ τὸ ὄρος ✧ [4] καὶ πρὸς δυ-
σμὰς τούτου ἄλλο ὄρος ταπεινότερον αὐτοῦ καὶ οὐκ ἔχον ὕψος
καὶ φάραγ̊γα βαθεῖαν καὶ ξηρὰν ἀνὰ μέσον αὐτῶν καὶ ἄλλην
5 φάραγ̊γα βαθεῖαν καὶ ξηρὰν ἐπ᾽ ἄκρων τῶν τριῶν ὀρέων ✧ [5] καὶ
πόσαι° φάραγγές εἰσιν βαθεῖαι ἐκ πέτρας στερεᾶς καὶ δένδρον
6 οὐκ ἐφυτεύετο ἐπ᾽ αὐτάς ✧ [6] καὶ ἐθαύμασα περὶ τῆς φάραγγὸς καὶ
λία̊ν ἐθαύμασα ✧

**27** [1] καὶ εἶπον διὰ τί ἡ γῆ αὕτη ἡ εὐλογημένη καὶ πᾶσα πλήρης
2 δένδρων αὐτὴ δὲ ἡ φάραγ̊ξ κεκατηραμένη ἐστίν ✧ [2] γῆ κατάρατος
τοῖς κεκατηραμένοις ἐστὶν μέχρι αἰῶνος ὧδε ἐπισυναχθήσονται
πάντες οἱ κεκατηραμένοι ὅ̊ιτινες ἐροῦσιν τῷ στόματι αὐτῶν κατὰ
κυρίου φωνὴν ἀπρεπῆ καὶ περὶ τῆς δόξης αὐτοῦ σκληρὰ λα-
λήσουσιν ὧδε ἐπισυναχθήσονται καὶ ὧδε ἔσται τὸ οἰκ̊ητήριον ✧
3 [3] ἐπ᾽ ἐσ̊χάτοις αἰῶσιν ἐν ταῖς ἡμέραις τῆς κρίσεως τῆς ἀληθ̊ινῆς
ἐναντίον τῶν δικαίων εἰς τὸν ἅπαντα χρόνον ὧδε εὐλογήσουσιν
4 οἱ ε̊ὐσεβεῖς τὸν κύριον τ̊ῆς δόξης τὸν βασιλέα τοῦ αἰῶνος ✧ [4] ἐν

**v.4** εὐωδίας ¦ ευωδειας P. **v.4** ἐν ¦ ει P. **v.4** ἐκδίκησις ¦ εκδεικησις P. **v.5** βασιλέως ¦ βασιλευς P. **v.6** χαρήσονται ¦ χαρισονται P. **v.6** ὀσμαὶ ¦ οσμε P. **v.6** ὀστέοις ¦ οσταιοις P. **v.6** μάστιγες ¦ μαστειγες P. **v.7** ηὐλόγησα ¦ ηυλογησαν P. **26. v.2** τεθέαμαι ¦ τεθεαμε P. **v.3** φάραγγα ¦ φαρανγα P. **v.4** φάραγγα ¦ φαρανγαν P. **v.5** πόσαι φάραγγές ¦ ποσε φαρανγες P. **v.6** φάραγγος ¦ φαρανγας P. **v.6** λίαν ¦ λειαν P. **27. v.1** φάραγξ ¦ φαρανξ P. **v.2** οἵτινες ¦ τινες P. **v.2** οἰκητήριον ¦ οικετηριον P. **v.3** ἐσχάτοις ¦ αισχατοις P. **v.3** ἀληθινῆς ¦ αληθεινης P. **v.3** εὐσεβεῖς ¦ ασεβεις P. **v.3** τῆς ¦ ταις P.

ταῖς ἡμέραις τῆς κρίσεως αὐτῶν εὐλογήσουσιν ἐν ἐλέει ὡς ἐμέρι-
σεν αὐτοῖς ✧ [5]τότε ηὐλόγησα τὸν κύριον τῆς δόξης καὶ τὴν δόξαν 5
αὐτοῦ ἐδήλωσα καὶ ὕμνησα μεγαλοπρεπῶς ✧

[1]καὶ ἐκεῖθεν ἐπορεύθην εἰς τὸ μέσον μανδοβαρὰ καὶ ἴδον αὐτὸ **28**
ἔρημον καὶ αὐτὸ μόνον ✧ [2]πλῆρες° δένδρων καὶ ἀπὸ τῶν σπερμά- 2
των ὕδωρ ἄνομβρον ἄνωθεν° φερόμενον ✧ [3]ὡς ὑδραγωγὸς δαψιλὴς 3
ὡς πρὸς βορρᾶν ἐπὶ δυσμῶν πάντοθεν ἀνάγει ὕδωρ καὶ δρόσον ✧

[1]ἔτι ἐκεῖθεν ἐπορεύθην εἰς ἄλλον τόπον ἐν τῷ βαβδηρὰ καὶ **29**
πρὸς ἀνατολὰς τοῦ ὄρους τούτου ᾠχόμην ✧ [2]καὶ ἴδον κρίσεως δέν- 2
δρα πνέοντα ἀρωμάτων λιβάνων καὶ ζμύρνας̊ καὶ τὰ δένδρα αὐτῶν
ὅμοια καρ̊ύαις ✧

[1]καὶ ἐπέκεινα τούτων ᾠχόμην πρὸς ἀνατολὰς μακρὰν καὶ ἴδον **30**
τόπον ἄλλον μέγαν φάραγ̊γα ὕδατος ✧ [2]ἐν ᾧ καὶ δένδρον χρόα 2
ἀρωμάτων ὁμοίων σχ̊ίνῳ ✧ [3]καὶ τὰ παρὰ τὰ χείλη τῶν φαρ̊άγγων 3
τούτων ἴδον κιννάμωμον ἀρωμάτων καὶ ἐπέκεινα τούτων ᾠχόμην
πρὸς ἀνατολάς ✧

[1]καὶ ἴδον ἄλλα ὄρη καὶ ἐν αὐτοῖς ἄλση δένδρων καὶ ἐκπορευό- **31**
μενὸν ἐξ αὐτῶν νέκταρ τὸ καλούμενον σαρρὰν καὶ χαλβάνη ✧ [2]καὶ 2
ἐπέκεινα τῶν ὀρέων τούτων ἴδον ἄλλο ὄρος πρὸς ἀνατολὰς τῶν πε-
ράτων τῆς γῆς καὶ πάντα τὰ δένδρα πλήρη ἐξαυτῆς ἐν ὁμοιώματι
ἀμυγδάλων ✧ [3]ὅταν τριβῶσιν διὸ εὐωδέστερον ὑπὲρ πᾶν ἄρωμα̊ ✧ 3

[1]εἰς βορρᾶν πρὸς ἀνατολὰς τεθέαμα̊ι ἑπτὰ ὄρη πλήρη νάρδου **32**
χρηστοῦ καὶ σχ̊ίνου καὶ κινναμώμου καὶ πιπέρεως ✧ [2]καὶ ἐκεῖ- 2
θεν ἐφώδευσα ε᾽πὶ τὰς ἀρχὰς πάντων τῶν ὀρέων τούτων μακρὰν
ἀπέχων πρὸς ἀνατολὰς τῆς γῆς καὶ διέβην ἐπάνω τῆς ἐρυθρᾶς
θαλάσσης καὶ ᾠχόμην ἐπ᾽ ἄκρων καὶ ἀπὸ τούτου διέβην ἐπάνω
τοῦ ζωτιήλ ✧ [3]καὶ ἦλθο̊ν πρὸς τὸν παράδε̊ισον τῆς δικαιοσύνης καὶ 3
ἴδον μακρόθεν τῶν δένδρων τούτων δένδρα πλείονα καὶ μεγάλα
δύο̊ μὲν ἐκεῖ μεγάλα σφόδρα καλὰ καὶ ἔνδοξα καὶ μεγαλο̊πρεπῆ
καὶ τὸ δένδρον τῆς φρονήσεως οὗ ἐσθίουσιν ἅγιοι τοῦ καρποῦ
αὐτοῦ καὶ ἐπίστανται φρόνησιν μεγάλην ✧ [4]ὅμοιον τὸ δένδρον ἐ- 4
κεῖνο στροβιλέᾳ τὸ ὕψος τὰ δὲ φύλλα αὐτοῦ κερα̊τίᾳ ὅμοια ὁ δὲ
καρπὸς αὐτοῦ ὡσεὶ βότρυες ἀμπέλου ἱλαροὶ λίαν ἡ δὲ ὀσμὴ αὐ-
τοῦ διέτρεχεν πόρρω ἀπὸ τοῦ δένδρου ✧ [5]τότε εἶπον ὡς καλὸν τὸ 5
δένδρον καὶ ὡς ἐπίχαρι̊ τῇ ὁράσε̊ι ✧ [6]τότε ἀπεκρίθη ῥαφαὴλ ὁ ἅ- 6
γιος ἄγγελος ὁ μετ᾽ ἐμοῦ ὢν τοῦτο τὸ δένδρον φρονήσεως ἐξ οὗ

---

**28. v.2** πλῆρες δένδρων ¦ πληρης δενδρον P. **v.2** ἄνωθεν φερόμενον ¦ ανοθεν φαιρομενον P. **29. v.2** ζμύρνας ¦ ζμυρνα P. **v.2** καρύαις ¦ καροιης P. **30. v.1** φάραγγα ¦ φαρανγαν P. **v.2** σχίνῳ ¦ σχυνω P. **v.3** φαράγγων ¦ φαγανγων P. **31. v.1** ἐκπορευόμενον ¦ εκπορευομενων P. **v.3** ἄρωμα ¦ αρωματων P. **32. v.1** τεθέαμαι ¦ τεθεαμε P. **v.1** σχίνου ¦ σχυνου P. **v.3** ἦλθον ¦ ελθων P. **v.3** παράδεισον ¦ παραδισον P. **v.3** δύο ¦ δύω P. **v.3** μεγαλοπρεπῆ ¦ μεγαλονπρεπη P. **v.4** κερατίᾳ ¦ κερατι P. **v.5** ἐπίχαρι ¦ επιχαρη P. **v.5** ὁράσει ¦ ορασι P.

ἔφαγεν ὁ πατήρ σου . . . ⋄
**89** [42]καὶ οἱ κύνες ἤρξαντο κατεσθίειν τὰ πρόβατα καὶ οἱ ὕες καὶ
οἱ ἀλώπεκες κατήσθιον αὐτὰ μέχρι οὗ ἤγειρεν ὁ κύριος τῶν προ-
43 βάτων κριὸν ἕνα ἐκ τῶν προβάτων ⋄ [43]καὶ ὁ κριὸς οὗτος ἤρξατο
κερατίζειν καὶ ἐπιδιώκειν ἐν τοῖς κέρασιν καὶ ἐνετίνασσεν εἰς τοὺς
ἀλωπέκας καὶ μετ᾽ αὐτοὺς εἰς τοὺς ὕας καὶ ἀπώλεσεν ὕας πολ-
44 λοὺς καὶ μετ᾽ αὐτοὺς [ἐλυμήνα]το τοὺς κύνας ⋄ [44]καὶ τὰ πρόβατα
ὧν οἱ ὀφθαλμοὶ ἠνοίγησαν ἐθεάσαντο τὸν κριὸν τὸν ἐν τοῖς προ-
βάτοις ἕως οὗ ἀφῆκεν τὴν ὁδὸν αὐτοῦ καὶ ἤρξατο πορεύεσθαι
45 ἀνοδίᾳ ⋄ [45]καὶ ὁ κύριος τῶν προβάτων ἀπέστειλεν τὸν ἄρνα τοῦτον
ἐπὶ ἄρνα ἕτερον τοῦ στῆσαι αὐτὸν εἰς κριὸν ἐν ἀρχῇ τῶν προβά-
46 των ἀντὶ τοῦ κριοῦ τοῦ ἀφέντος τὴν ὁδὸν αὐτοῦ ⋄ [46]καὶ ἐπορεύθη
πρὸς αὐτὸν καὶ ἐλάλησεν αὐτῷ σιγῇ κατὰ μόνας καὶ ἤγειρεν
αὐτὸν εἰς κριὸν καὶ εἰς ἄρχοντα καὶ εἰς ἡγούμενον τῶν προβά-
47 των καὶ οἱ κύνες ἐπὶ πᾶσι τούτοις ἔθλιβον τὰ πρόβατα ⋄ [47][καὶ]°
ὁ κριὸς ὁ πρῶτος τὸν κριὸν τὸν δεύτερον ἐπεδίωκεν καὶ ἔφυγεν
ἀπὸ προσώπου αὐτοῦ εἶτ᾽ ἐθεώρουν° τὸν κριὸν τὸν πρῶτον ἕως οὗ
48 ἔπεσεν ἔμπροσθεν τῶν κυνῶν ⋄ [48]καὶ ὁ κριὸς ὁ δεύτερος ἀναπη-
49 δήσας ἀφηγήσατο τῶν προβάτων ⋄ [49]καὶ τὰ πρόβατα ηὐξήθησαν
καὶ ἐπληθύνθησαν καὶ πάντες οἱ κύνες καὶ αἱ ἀλωπέκες ἔφυγον
ἀπ᾽ αὐτοῦ καὶ ἐφοβοῦντο αὐτόν . . . ⋄
**97** [1]παρὰ δὲ τοῦ ὄρους ἐν ᾧ ὤμοσαν καὶ ἀνεθεμάτισαν πρὸς τὸν
πλησίον αὐτῶν ὅτι εἰς τὸν αἰῶνα οὐ μὴ ἀποστῇ ἀπ᾽ αὐτοῦ ψῦχος
καὶ χιὼν καὶ πάχνη καὶ δρόσος οὐ μὴ καταβῇ εἰς αὐτὸ εἰ μὴ εἰς
κατάραν καταβήσεται ἐπ᾽ αὐτὸ μέχρις ἡμέρας κρίσεως τῆς με-
2 γάλης ⋄ [2]ἐν τῷ καιρῷ ἐκείνῳ κατακαυθήσεται καὶ ταπεινωθήσεται
καὶ ἔσται κατακαιόμενον καὶ τηκόμενον ὡς κηρὸς ἀπὸ πυρὸς
3 οὕτως κατακήσεται περὶ πάντων τῶν ἔργων αὐτοῦ ⋄ [3]καὶ νῦν ἐγὼ
λέγω ὑμῖν υἱοῖς ἀνθρώπων ὀργὴ μεγάλη καθ᾽ ὑμῶν κατὰ τῶν υἱ-
ῶν ὑμῶν καὶ οὐ παύσεται ἡ ὀργὴ αὕτη ἀφ᾽ ὑμῶν μέχρι καιροῦ
4 σφαγῆς τῶν υἱῶν ὑμῶν ⋄ [4]καὶ ἀπολοῦνται οἱ ἀγαπητοὶ ὑμῶν καὶ
ἀποθανοῦνται οἱ ἔντιμοι ὑμῶν ἀπὸ πάσης τῆς γῆς ὅτι πᾶσαι αἱ
ἡμέραι τῆς ζωῆς αὐτῶν ἀπὸ τοῦ νῦν οὐ μὴ ἔσονται πλείω τῶν
5 ἑκατὸν εἴκοσιν ἐτῶν ⋄ [5]καὶ μὴ δόξητε ἔτι ζῆσαι ἐπὶ πλείονα ἔτη οὐ
γάρ ἐστιν ἐπ᾽ αὐτοῖς πᾶσα ὁδὸς ἐκφεύξεως ἀπὸ τοῦ νῦν διὰ τὴν
ὀργὴν ἣν ὠργίσθη ὑμῖν ὁ βασιλεὺς πάντων τῶν αἰώνων μὴ νομί-
6 σητε ὅτι ἐκφεύξεσθε ταῦτα ⋄ [6]. . . [καὶ ἀναγνωσθήσ]ονται [πάντες]
οἱ λόγοι τῶν ἀνομιῶν ὑμῶν ἐν[ώπιον] τοῦ μεγάλου ἁγίου κατὰ
πρόσωπον ὑμῶν εἶτ᾽ ἀναφελεῖ τὰ πάντα ἔργα τὰ μετασχόντα ἐν

**89. v.42** καὶ ¦ εκ του του ενωχ βιβλιου χρησις και ῞. **v.47** [καὶ] ὁ ¦ εξης δε τουτοις γεγραπται οτι ο ῞. **v.47** ἐθεώρουν ¦ εθεωρουν φησιν ῞.

τῇ ἀνομίᾳ ⬩ 7 οὐαὶ ὑμῖν οἱ ἁμαρτωλοὶ [οἱ] ἐν μέσῳ τῆς θαλάσσης 7
καὶ ἐπὶ τῆς ξηρᾶς ὄντες μνημόσυνον εἰς ὑμᾶς κακόν ⬩ 8 οὐαὶ ὑμῖν 8
οἱ κτώμενοι χρυσίον καὶ ἀργύριον οὐκ ἀπὸ δικαιοσύνης καὶ ἐ-
ρεῖτε πλούτῳ πεπλουτήκαμεν καὶ τὰ ὑπάρχοντα ἐσχήκαμεν καὶ
κεκτήμεθα ⬩ 9 καὶ πᾶν ὃ ἐὰν θελήσωμεν ποιήσωμεν ὅτι ἀργύριον 9
τεθησαυρίκαμεν ἐν τοῖς θησαυροῖς ἡμῶν καὶ ἀγαθὰ πολλὰ ἐν
ταῖς οἰκίαις ἡμῶν ⬩ 10 καὶ ὡς ὕδωρ ἐκχυθήσεται πεπλάνησθε ὅτι 10
οὐ μὴ παραμείνῃ ὁ πλοῦτος ὑμῶν ἀλλὰ ταχὺ [ἀναπτήσεται] ἀπὸ
ὑμῶν ὅτι ἀδίκως πάντα κέκτησθε καὶ ὑμεῖς εἰς κατάραν μεγάλην
παραδοθήσεσθε ⬩

1 καὶ νῦν ὀμνύω ὑμῖν τοῖς φρονίμοις καὶ οὐχὶ τοῖς ἄφροσι ὅτι **98**
πολλὰς ὄψεσθε ἐπὶ τῆς γῆς ἀνομίας ⬩ 2 ὅτι κάλλος περιθήσονται 2
ἄνδρες ὡς γυναῖκες [καὶ] χρῶμα ὡραῖον ὑπὲρ παρθένους ἐν βα-
σιλείᾳ καὶ μεγαλωσύνῃ καὶ ἐν ἐξουσίᾳ ἔσονται δὲ ἀργύριον καὶ
χρυσίον [παρ᾽] αὐτοῖς εἰς βρώματα καὶ ἐν ταῖς οἰκίαις αὐτῶν ὡς
ὕδωρ ἐκχυθήσονται ⬩ 3 [διὰ τὸ μ]ὴ ἐπιστήμην αὐτοὺς μηδὲ φρό- 3
νησιν μηδεμίαν [ἔχειν] οὕτω ἀπολεῖσθε κοινῶς μετὰ πάντων [τῶν]
ὑπαρχόντων ὑμῶν [καὶ τῆς] πάσης δόξης καὶ τῆς τιμῆς [ὑμῶν
καὶ] εἰς ἀτιμίαν καὶ ἐρήμωσιν [καὶ σφαγὴν] μεγάλην τ[ὰ πνεύ-
ματα ὑμῶν εἰς τὴν κάμινον τοῦ πυρὸς ἐμβληθήσεται] ⬩ 4 ἐπὶ τὴν 4
[γῆν οὐκ ἀπεστάλη ἀλλ᾽ αὐτὴν οἱ ἄνθρω]ποι ἀφ᾽ ἑαυτῶν [ἔκτισαν
καὶ εἰς κατάραν] μεγάλην ἀφίξονται οἱ ποιοῦντες [αὐτήν] ⬩ 5 καὶ 5
δοῦλεία γυναικὶ οὐκ ἐδόθη ἀλλὰ διὰ τὰ ἔργα τῶν χειρῶν ὅτι οὐχ
ὡρίσθη δούλην εἶναι δούλην ἄνωθεν οὐκ ἐδόθη ἀλλὰ ἐκ κατα-
δυναστείας ἐγένετο ὁ[μοίως] οὐδὲ ἡ ἀνομία ἄνωθεν ἐδόθη ἀλλ᾽
ἐκ παραβάσεως ὁμοίως οὐδὲ στεῖρα γυνὴ ἐκτίσθη ἀλλ᾽ ἐξ ἰδίων
ἀδικημάτων ἐπετιμήθη ἀτεκνίᾳ [καὶ] ἄτεκνος ἀποθανεῖται ⬩ 6 ὀ- 6
μνύω ὑμῖν ἁμαρτωλοὶ κατὰ τοῦ ἁγίου τοῦ μεγάλου ὅτι τὰ ἔργα
ὑμῶν τὰ πονηρὰ ἔσται ἀνακεκαλυμμένα ἐν τῷ οὐρανῷ οὐκ ἔσται
ὑμῖν ἔργον ἀποκεκρυμμένον ἄδικον ⬩ 7 μὴ ὑπολάβητε τῇ ψυχῇ 7
ὑμῶν μηδὲ ὑπολάβητε τῇ καρδίᾳ ὑμῶν ὅτι οὐ γινώσκουσιν οὐδὲ
βλέπουσιν οὐδὲ τὰ ἀδικήματα ὑμῶν θεωρεῖτε οὐδὲ ἀπογράφεται
αὐτὰ ἐνώπιον τοῦ ὑψίστου ⬩ 8 ἀπὸ τοῦ [νῦν] ἐπιγνῶτε ὅτι πάντα 8
τὰ ἀδικήματα ὑμῶν ἀπογράφονται ἡμέραν ἐξ [ἡμέρας] μέχρι τῆς
κρίσεως ὑμῶν ⬩ 9 οὐαὶ ὑμῖν ἄφρονες ὅτι ἀπολεῖσθε διὰ τὴν ἀφρο- 9
σύνην ὑμῶν καὶ τῶν [φρονίμων] οὐ μὴ ἀκούσητε καὶ τὰ ἀγαθὰ
οὐκ ἀπαντήσει ὑμῖν τὰ δὲ κακὰ [περιέξει] ὑμᾶς ⬩ 10 καὶ νῦν γινώ- 10
σκετε ὅτ[ι ἡτοίμασται] ὑμῖν εἰς ἡμέραν ἀπωλείας [μὴ ἐλπίζε]τε σω-
θῆναι ἁμαρτωλοὶ ἀπ[ελθόντες] ἀποθάνετε γινώσκοντε[ς ὅτι ἡτοί-

---

**98. v.5** δουλεία ¦ στειρα.

μασ]ται εἰς ἡμέραν κρίσεως μ[εγάλης καὶ στε]νοχωρίας μείζονος
11 τ[οῖς πνεύμασιν ὑμῶν] ⬦ [11] οὐαὶ ὑμῖν οἱ σκληροτράχηλοι τῇ καρδίᾳ
ποιοῦντες τὸ κἀ[κὸν καὶ ἔσθοντες αἷμα πόθ]εν ὑμῖν ἔσο[νται ἀγα-
12 θὰ ἵνα φάγητε] ⬦ [12] [ἔργα τῆ]ς ἀδικίας διότι ἐλπίδας κα[λὰς ἔχετε
ὑμῖ]ν νῦν γνωστὸν ὑμῖν ἔστω ὅτι εἰς [χεῖρας τ]ῶν δικαίων παρα-
δοθήσεσθε καὶ ἀποκτενοῦσιν ὑμᾶς καὶ οὐ μὴ φείσονται ὑμῶν ⬦
13 [13] οὐαὶ ὑμῖν οἱ ἐπιχαίροντες τοῖς κακοῖς τῶν δικαίων τάφος ὑμῶν
14 οὐ μὴ ὀρυγῇ ⬦ [14] οὐαὶ ὑμῖν βουλόμενοι ἀκυρῶσαι τοὺς λόγους τῶν
15 δικαίων οὐ μὴ γένηται ὑμῖν ἐλπὶς σωτηρίας ⬦ [15] οὐαὶ ὑμῖν οἱ γρά-
φοντες λόγους ψευδεῖς καὶ λόγους πλανήσεως αὐτοὶ γράφουσιν
16 καὶ πολλοὺς ἀποπλανήσουσιν τοῖς ψεύδεσιν αὐτῶν ⬦ [16] πλανᾶσθε
ὑμεῖς αὐτοὶ καὶ οὐκ ἔστιν ὑμῖν χαίρειν ἀλλὰ ταχέως ἀπολεῖσθε ⬦
**99** [1] οὐαὶ ὑμῖν οἱ ποιοῦντες πλανήματα καὶ τοῖς ἔργοις τοῖς ψεύ-
δεσιν λαμβάνοντες τιμὴν καὶ δόξαν ἀπολώλατε οὐκ ἔστιν ὑμῖν
2 σωτηρία εἰς ἀγαθόν ⬦ [2] οὐαὶ ὑμῖν οἱ ἐξαλλοιοῦντες τοὺς λόγους
τοὺς ἀληθινοὺς καὶ διαστρέφοντες τὴν αἰώνιον διαθήκην καὶ
λογιζόμενοι ἑαυτοὺς ἀναμαρτήτους ἐν τῇ γῇ καταποθήσονται ⬦
3 [3] τότε ἑτοιμάζεσθε οἱ δίκαιοι καὶ προέχεσθε τὰς ἐντεύξεις ὑμῶν
εἰς μνημόσυνον δίδοτε αὐτὰς ἐν διαμαρτυρίᾳ ἐνώπιον τῶν ἀγγέ-
λων ὅπως εἰσαγάγωσιν τὰ ἁμαρτήματα τῶν ἀδίκων ἐνώπιον τοῦ
4 ὑψίστου θεοῦ εἰς μνημόσυνον ⬦ [4] καὶ τότε συν[ταραχ]θήσονται ἐν
5 [ἡμέρ]ᾳ ἀπωλείας τῆς ἀδικίας ⬦ [5] ἐν αὐτῷ [τῷ και]ρῷ ἐκείνῳ αἱ
τίκτουσαι ἐκβαλοῦσιν καὶ ἐκπάσουσιν καὶ ἐγκαταλείψουσιν [τὸ
νήπιο]ν βρέφος καὶ αἱ ἐν γαστρὶ ἔχου[σαι ἐκτρώσο]υσιν καὶ αἱ θη-
λάζουσαι ῥίψ[ουσιν τὰ τέκ]να αὐτῶν καὶ οὐ μὴ ἐπι[στρέψου]σιν
ἐπὶ τὰ νήπια αὐτῶν οὐ[δὲ ἐπὶ τὰ θηλά]ζοντα οὐδὲ μὴ φείσον-
6 ται . . . ⬦ [6] et rursus iuro vobis peccatores quod in diem sangui-
7 nis perditionis tristitia parata est ⬦ [7] [καὶ] οἱ γλύφοντες εἰκόνα[ς
ἀργυ]ρᾶς καὶ χρυσᾶς ξυλίνας τε [καὶ λιθίνας] καὶ ὀστρακίνας
καὶ λατρεύ[οντες φαν]τάσμασιν καὶ δαιμονίοι[ς βδελύγ]μασιν καὶ
πνεύμασιν πονη[ροῖς καὶ] πάσαις ταῖς πλάναις οὐ κατ᾽ ἐπι[στήμη]
8 καὶ πᾶν βοήθημα οὐ μὴ εὕρηται [ἀπ᾽] αὐτῶν ⬦ [8] καὶ πλανηθήσον-
ται ἐν ἀφροσύνῃ τῆς καρδίας αὐτῶν καὶ τὰ ὁράματα τῶν ἐνυπνίων
9 καταπλανήσουσιν ὑμᾶς ⬦ [9] ὑμεῖς καὶ τὰ ἔργα ὑμῶν τὰ ψευδῆ ἃ ἐ-
10 ποιήσατε καὶ ἐλαεργ[ήσατε] καὶ ἐπὶ μιᾶς ἀπολεῖσθε ⬦ [10] καὶ τότε
μακάριοι πάντες οἱ ἀκούσαντες φρονίμων λόγους καὶ μαθήσον-
ται αὐτοὺς ποιῆσαι τὰς ἐντολὰς τοῦ ὑψίστου καὶ πορεύσονται ἐν
ὁδοῖς δικαιοσύνης αὐτοῦ καὶ οὐ μὴ πλανήσουσιν μετὰ τῶν πλα-
11 νώντων καὶ σωθήσονται . . . ⬦ [11] καὶ τότε μακάριοι πάντες οἱ ἀ-
κούσαντες φρονίμων λόγους καὶ μαθήσονται αὐτούς ποιῆσαι τὰς

ἐντολὰς τοῦ ὑψίστου ⬩ [12] καὶ πορεύσονται ἐν ὁδοῖς δικαιοσύνης 12
αὐτοῦ καὶ οὐ μὴ πλανήσουσιν μετὰ τῶν πλανώντων καὶ σωθήσον-
ται ⬩ [13] οὐαὶ οἱ οἰκοδομοῦντες τὰς οἰκοδομὰς αὐτῶν οὐκ ἐκ κόπων 13
ἰδίων καὶ ἐκ λίθων καὶ ἐκ πλίνθων πᾶσαν οἰκοδομὴν ποιεῖτε οἷς
οὐκ ἔστιν ὑμῖν χά[ρις] ⬩ [14] οὐαὶ οἱ ἐξουθενοῦντες τὴν θεμελίωσιν 14
καὶ τὴν κληρονομίαν τῶν πατέρων αὐτῶν τὴν ἀπ᾽ αἰῶνος [ὅτι] διώ-
ξεται ὑμᾶς πνεῦμα πλανήσεως οὐκ ἔστιν ὑμῖν ἀναπαῦσαι ⬩ [15] οὐαὶ 15
ὑμῖν οἱ ποιοῦντες τὴν ἀ[νομίαν] καὶ ἐπιβοηθοῦντες τῇ ἀδι[κίᾳ φο-
νεύ]οντες τὸν πλησίον αὐτῶ[ν ἕως τῆς] ἡμέρας τῆς κρίσεως τῆς
[μεγάλης] ⬩ [16] ὅτι τότε ἐκτρίψει τὴν δόξ[αν ὑμῶν] καὶ ἐπεγερεῖ τὸν 16
θυμὸν [αὐτοῦ καθ᾽] ὑμῶν ἀπολεῖ πάντας ὑ[μᾶς ἐν ῥομ]φαίᾳ καὶ
πάντες οἱ δί[καιοι μνημο]νήσουσιν τὰς ἀδικίας [ὑμῶν] ⬩

[1] καὶ τότε ἐν ἑνὶ τόπῳ [ῥέῃ τὰ α]ἵμα[τα αὐτῶν καὶ ἄνθρωπο]ς **100**
οὐκ [ἀφέξ]ει τὴν [χεῖρα αὐτοῦ ἀπ]ὸ τοῦ υἱοῦ αὐ[τοῦ οὔτ᾽ ἀ]πὸ τοῦ
ἀγαπητοῦ αὐτοῦ ἀποκτεῖναι αὐτὸν καὶ ὁ ἁμαρτωλὸς ἀπὸ τοῦ ἐν-
τίμου οὔτε ἀπὸ τοῦ ἀδελφοῦ αὐτοῦ ἐξ ὄρθρων μέχρις οὗ δῦναι
τὸν ἥλιον φονευθήσονται ἐπὶ τὸ αὐτό ⬩ [3] καὶ διαπορεύσεται ἵππος 3
ἕως τοῦ στήθους αὐτοῦ διὰ τοῦ αἵματος τῶν ἁμαρτωλῶν καὶ τὸ
ἅρμα μέχρι ἀξόνων καταβήσεται ⬩ [4] καὶ καταβήσονται ἄγγελοι κα- 4
ταδύνοντες εἰς τὰ ἀπόκρυφα ἐν ἡμέρᾳ ἐκείνῃ οἵτινες ἐβοήθουν
τῇ ἀδικίᾳ καὶ συστραφήσονται εἰς ἕνα τόπον καὶ ὁ ὕψιστος ἐγερ-
θήσενται ἐν ἡμέρᾳ κρίσεως ποιῆσαι ἐκ πάντων κρίσιν μεγάλην ⬩
[5] καὶ τάξει φυλακὴν ἐπὶ πάντας τοὺς δικαίους καὶ ἁγίους τῶν 5
ἁγίων ἀγγέλων καὶ τηρηθήσονται ὡς κόριον ὀφθαλμοῦ ἕως οὗ
ἐκλείπῃ τὰ κακὰ καὶ ἁμαρτία καὶ ἀπ᾽ ἐκείνου ὑπνώσουσιν εὐσε-
βεῖς ὕπνον ἡδὺν καὶ οὐκ ἔσται οὐκέτι ὁ ἐκφοβῶν αὐτούς ⬩ [6] τότε 6
ὄψονται οἱ φρόνιμοι τῶν ἀνθρώπων καὶ κατανοήσουσιν οἱ υἱοὶ
τῆς γῆς ἐπὶ τοὺς λόγους τούτους τῆς ἐπιστολῆς ταύτης καὶ γνώ-
σθηναι ὅτι οὐ δύναται ὁ πλοῦτος αὐτῶν διασῶσαι αὐτοὺς ἐν τῇ
πτώσει τῆς ἀδικίας ⬩ [7] οὐαὶ ὑμῖν οἱ ἄδικοι ὅταν ἐκθλίβητε τοὺς δι- 7
καίους ἐν ἡμέρᾳ ἀνάγκης στερεᾶς καὶ φυλάξητε αὐτοὺς ἐν πυρὶ
ὅτι κομιεῖσθε κατὰ τὰ ἔργα ὑμῶν ⬩ [8] οὐαὶ ὑμῖν σκληροκάρδιοι ἀ- 8
γρυπνοῦντες νοῆσαι τὸ κακὸν περιέχει ὑμᾶς φόβος καὶ οὐκ ἔστιν
ὁ ἀντιλαμβανόμενος ὑμῶν ⬩ [9] οὐαὶ ὑμῖν πᾶσιν τοῖς ἁμαρτωλοῖς ἐ- 9
πὶ τοῖς ἔργοις τοῦ στόματος ὑμῶν οὐαὶ ὑμῖν πᾶσιν ἁμαρτωλοῖς
ἐπὶ τοῖς λόγοις τοῦ στόματος ὑμῶν καὶ ἐπὶ τοῖς [ἔργοις] τῶν χει-
ρῶν ὑμῶν ὅτι ἀπὸ τῶν ἁγίων ἔργων ἀπεπλα[νήθητε] ⬩ [11] πᾶσα νε- 11
φέλη καὶ ὁμίχλη καὶ δρόμος καὶ ὄμβρος . . . ἐπὶ ταῖς ἁμαρτίαις
ὑμῶν ⬩ [12] δίδοτε οὖν ὄμβρῳ δῶρα ἵνα μὴ [κωλυθῇ κα]ταβῆναι ὑ- 12
μῖν καὶ δρόσῳ κα[ὶ νεφέλῃ] καὶ ὁμίχλῃ χρυσίον διαγράψα[τε ἵνα

13 κα]ταβῶσιν ◊ [13]ὅτι ἐὰν ἐπιρρίψῃ ἐφ᾽ ὑμ[ᾶς χι]ὼν καὶ πάχνη καὶ
ψῦχος αὐτῆς καὶ οἱ ἄνεμοι καὶ ὁ παγετὸς αὐτῶν καὶ πᾶσαι αἱ
μάστιγες αὐτῶν οὐ δύνασθε ὑποστῆναι ἔμπροσθεν ψύχους καὶ
τῶν μαστίγων αὐτῶν ◊
**101** [1]κατανοήσατε τοίνυν υἱοὶ τῶν ἀνθρώπων τὰ ἔργα τοῦ ὑψίστου
2 καὶ φοβήθητε τοῦ ποιῆσαι τὸ πονηρὸν ἐναντίον αὐτοῦ ◊ [2]ἐὰν ἀ-
ποκλείσῃ τὰς θυρίδας τοῦ οὐρανοῦ καὶ κωλύσῃ τὴν δρόσον καὶ
3 τὸν ὄμβρον καταβῆναι εἵνεκα ὑμῶν τί ποιήσετε ◊ [3]ἐὰν ἀποστείλη-
ται τὸν θυμὸν αὐτοῦ ἐφ᾽ ὑμᾶς καὶ ἐπὶ τὰ ἔργα ὑμῶν οὐχὶ ἔσεσθε
δεόμενοι αὐτοῦ διὰ τί ὑμεῖς λαλεῖτε τῷ στόματι ὑμῶν μεγάλα καὶ
4 σκληρὰ ἐπὶ τῇ μεγαλωσύνῃ αὐ[τοῦ ◊ [4]ὁρᾶ]τε τοὺς ναυκλήρους
τοὺς πλωιζομένους τὴν θάλασσαν ὑπὸ τοῦ κ[λύδω]νος καὶ χει-
5 μῶνος σεσαλευμένα τὰ πλοῖα αὐτῶν ◊ [5]καὶ χειμαζόμενοι πάντες
φοβοῦνται ἔξω δὲ τὰ [ἀγαθὰ πάντα] καὶ τὰ ὑπάρχοντα αὐτῶν ἐκ-
βάλλουσιν εἰς τὴν θάλασσαν καὶ ὑποπτεύουσιν ἐν τῇ καρδίᾳ αὐ-
τῶν ὅτι ἡ [θάλασσα κα]ταπίεται αὐτοὺς καὶ ἐν αὐτ[ῇ ἀπολοῦν]ται ◊
6 [6]οὐχὶ πᾶσα ἡ θάλασσα καὶ [πάντα τὰ] ὕδατα αὐτῆς ἔργον τοῦ
ὑψ[ίστου ἐστὶ] καὶ αὐτὸς συνεστήσατο τὰ π[έρατα αὐ]τῶν καὶ συ-
7 νέδησεν αὐτ[ὴν καὶ περι]έφραξεν αὐτὴν ἄμμῳ ◊ [7][καὶ ἀπὸ τῆς]
ἐμβριμήσεως αὐτοῦ φ[οβοῦνται καὶ ξη]ραίνονται καὶ οἱ ἰχθύες
8 . . . ◊ [8][γῆν] καὶ πάντα τὰ ἐν αὐτοῖς καὶ τίς ἔδωκεν ἐπιστήμην πᾶ-
σιν τοῖς κινουμένοις ἐν τῇ θαλάσσῃ οἱ ναύκληροι τὴν θάλασσαν
φοβοῦνται ◊
**102** [1]καὶ ὅταν ἐκβάλῃ ἐφ᾽ ὑμᾶς τὸν κλύδωνα τοῦ πυρὸς τῆς καύ-
σεως ὑμῶν ποῦ ἀποδράντες σωθήσεσθε καὶ ὅταν δῷ ἐφ᾽ ὑμᾶς
2 φωνὴν αὐτοῦ ◊ [2]ἔσεσθε συνσειόμενοι καὶ φοβούμενοι ἤχῳ μεγάλῳ
[καὶ] τὴν γῆν σύμπασαν σειομένην καὶ τρέμουσαν καὶ συνταρασ-
3 σομένην ◊ [3]καὶ οἱ ἄγγελοι συντελοῦντες τὸ συνταχθὲν αὐτοῖς καὶ ὁ
οὐρανὸς καὶ οἱ φωστῆρες σειόμενοι καὶ τρέμοντες ἅπαντες οἱ υἱοὶ
τῆς γῆς καὶ ὑμεῖς ἁμαρτωλοὶ ἐπικατάρατοι εἰς τὸν αἰῶνα οὐκ ἔ-
4 στιν ὑμῖν χαίρειν ◊ [4]θαρσεῖτε ψυχαὶ τῶν δικαίων τῶν ἀποθανόντων
5 τῶν δικαίων καὶ τῶν εὐσεβῶν ◊ [5]καὶ μὴ λυπεῖσθε ὅτι κατέβησαν αἱ
ψυχαὶ ὑμῶν εἰς ᾅδου μετὰ λύπης καὶ οὐκ ἀπηντήθη τῷ σώματι
τῆς σαρκὸς ὑμῶν ἐν τῇ ζωῇ ὑμῶν κατὰ τὴν ὁσιότητα ὑμῶν ἐπεὶ
αἱ ἡμέραι ἃς ἦτε ἡμέραι ἦσαν ἁμαρτωλῶν καὶ καταράτων ἐπὶ
6 τῆς γῆς ◊ [6]ὅταν ἀποθάνητε τότε ἐροῦσιν οἱ ἁμαρτωλοὶ ὅτι εὐσε-
βεῖς κατὰ τὴν εἱμαρμένην ἀπεθάνοσαν καὶ τί αὐτοῖς περιεγένετο
7 ἐπὶ τοῖς ἔργοις αὐτῶν ◊ [7]καὶ αὐτοὶ ὁμοίως ἡμῖν ἀπεθάνοσαν ἴδετε
οὖν ὡς ἀποθνήσκουσιν μετὰ λύπης καὶ σκότους καὶ τί αὐτοῖς ἐ-
8 γένετο περισσόν ◊ [8]ἀπὸ τοῦ νῦν ἀναστήτωσαν καὶ σωθήτωσαν καὶ

ὄψονται εἰς τὸν αἰῶνα ἡμᾶς φαγεῖν καὶ πιεῖν ⋄ [9]τοιγαροῦν ἁρ- 9
πάσαι καὶ ἁμαρτάνειν καὶ λωποδυτεῖν καὶ ἐγκτᾶσθαι καὶ [ἰδεῖν]
ἡμέρας ἀγαθάς ⋄ [10]ἴδετε οὖν οἱ δικαιοῦντες [ἑαυτ]οὺς ὁποία ἐγέ- 10
νετο αὐτῶν ἡ καταστροφὴ ὅτι πᾶσα δικαιοσύνη οὐχ εὑρέθη ἐν
αὐτοῖς ἕως ἀπέθανον καὶ ἀπώλοντο ⋄ [11]καὶ ἐγένοντο ὡς οὐκ ὄντες 11
καὶ κατέβησαν αἱ ψυχαὶ αὐτῶν μετ᾽ ὀδύνης εἰς ᾄδου . . . ⋄
[1]ἐγὼ ὀμνύω ὑμῖν . . . ⋄ [2]ἐπίσταμαι τὸ μυστήριον τοῦτο ἀν[έγνων] **103**, 2
γὰρ τὰς πλάκας τοῦ οὐρανοῦ καὶ εἶδον τὴν γραφὴν ἀναγκαίαν ἔ-
γνων τὰ γ[εγραμμέ]να ἐν αὐταῖς καὶ ἐγκεκολαμμέν[α περὶ] ὑμῶν ⋄
[3]ὅτι ἀγαθὰ καὶ ἡ χαρὰ καὶ ἡ τ[ιμὴ] ἡ ἡτοίμασται καὶ ἐγγέγρα- 3
πται ταῖς ψ[υχαῖς] τῶν ἀποθανόντων εὐσεβῶν ⋄ [4]καὶ χαιρήσονται 4
καὶ οὐ μὴ ἀπὸλωται τὰ πνεύματα αὐτῶν οὐδὲ τὸ μνημόσυνον ἀ-
πὸ προσώπου τοῦ μεγάλου εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων μὴ
οὖν φοβεῖσθε τοὺς ὀνειδισμοὺς αὐτῶν ⋄ [5]καὶ ὑμεῖς οἱ νεκροὶ τῶν 5
ἁμαρτωλῶν ὅταν ἀποθάνητε ἐροῦσιν ἐφ᾽ ὑμῖν μακάριοι ἁμαρτω-
λοὶ πάσας τὰς ἡμέρας αὐτῶν ὅσας εἴδοσαν ἐν τῇ ζωῇ αὐτῶν καὶ
ἐνδόξως ⋄ [6]ἀπεθάνοσαν καὶ κρίσις οὐκ ἐγενήθη ἐν τῇ ζωῇ αὐτῶν ⋄ 6
[7]αὐτοὶ ὑμεῖς γινώσκετε ὅτι εἰς ᾄδου κατάξουσιν τὰς ψυχὰς ὑ- 7
μῶν ⋄ [8]καὶ ἐκεῖ ἔσονται ἐν ἀνάγκῃ μεγάλῃ καὶ ἐν σκότει καὶ ἐν 8
παγίδι καὶ ἐν φλογὶ καιομένῃ καὶ εἰς κρίσιν μεγάλην εἰσελεύ-
σονται αἱ ψυχαὶ ὑμῶν ἐν πάσαις ταῖς γενεαῖς τοῦ αἰῶνος οὐαὶ
ὑμῖν οὐκ ἔστιν ὑμῖν χαίρειν ⋄ [9]μὴ γὰρ εἴπητε οἱ δίκαιοι ὅσιοι ὄν- 9
τες ἐν τῇ ζωῇ τῶν ἡμερῶν τῆς θλίψεως κόπους ἐκοπιάσαμεν καὶ
ἀνηλώμεθα καὶ ὀλίγοι ἐγενήθημεν καὶ ἀντιλήμπτορα οὐχ εὑρή-
καμεν ⋄ [10]συντετριμμένοι καὶ ἀπολώλαμεν καὶ ἀπηλπίσμεθα καὶ 10
μηκέτι εἰδέναι σωτηρίαν ἡμέραν ἐξ ἡμέρας ⋄ [11]ἠλπίσαμεν γενέ- 11
σθαι κεφαλὴ ἐγενήθημεν κέρ[κος ἐκο]πιάσαμεν ἐργαζόμενοι καὶ
τῶν ὀψωνίων οὐ κεκυριεύκαμεν ἐγενήθημεν κατάβρωμα ἁμαρ-
τωλῶν [οἱ ἄνο]μοι ἐβάρυναν ἐφ᾽ ἡμᾶς τὸν ζυγόν ⋄ [12]οἳ κυριεύουσιν 12
οἱ ἐχθροὶ ἡμῶν ἐγκεντρίζουσιν ἡμᾶς καὶ περικλείουσιν ἡμᾶς ἐ-
ζητήσαμεν πο[ῦ φύγωμεν] ἀπ᾽ αὐτῶν ὅπως ἀναψύχ[ωμεν] . . . ⋄
[14]ἐκράξαμεν ἐπὶ τοὺς καταβάλλοντας καὶ βιαζομένους ἡμᾶς καὶ 14
τὰς ἐντεύξεις ἡμῶν οὐκ ἀπεδέξαντο οὐδὲ ἐβούλοντο ἐπακοῦσαι
τῆς φωνῆς ἡμῶν ⋄ [15]καὶ οὐκ ἀντελαμβάνοντο ἡμῶν οὐχ εὑρόντες 15
κατὰ τῶν βιαζομένων καὶ κατεσθόντων ἡμᾶς ἀλλὰ στερεοῦσιν αὐ-
τοὺς ἐφ᾽ ἡμᾶς ἀπέκτειναν ἡμᾶς καὶ εἰς ὀλίγους ἤγαγον καὶ οὐχ
ὑποδεικνύουσιν περὶ τῶν πεφονευμένων ἡμῶν καὶ οὐκ ἀναμι-
μνήσκουσιν περὶ τῶν ἁμαρτωλῶν αὐτῶν τὰς ἁμαρτίας αὐτῶν ⋄
[1]ὀμνύω ὑμῖν ὅτι οἱ ἄγγελοι ἐν τῷ οὐρανῷ ἀναμιμνήσκουσιν **104**
[ὑμῶν] εἰς ἀγαθὸν ἐνώπιον τῆς δόξης τοῦ μεγάλου ⋄ [2]θαρσεῖτε δὴ 2

ὅτι ἐπαλαιώθητε ἐν τοῖς κακοῖς καὶ ἐν ταῖς θλίψεσιν ὡσεὶ φω-
στῆρες τοῦ οὐρανοῦ ἀναλάμψετε καὶ φανεῖτε αἱ θυρίδες τοῦ οὐ-
3 ρανοῦ ἀνοιχθήσονται ὑμῖν ⋄ [3] καὶ ἡ κραυγὴ ὑμῶν ἀκουσθήσεται
καὶ ἡ κρίσις ὑμῶν ἣν κράζετε καὶ φανεῖται ἐφ᾽ ὅσα συλλαβήσεται
4 ὑμῖν περὶ τῆς θλίψεως ὑμῶν ⋄ [4] καὶ ἐκ πάντων ὅστις μετέσχεν τῶν
5 βιαζομένων καὶ κατεσθόντων ὑμᾶς ⋄ [5] [μὴ φοβεῖσθε] τὰ κακὰ ἐν τῇ
ἡμέρᾳ τῆς κρίσεως τῆς μεγάλης καὶ οὐ μὴ εὑρεθῆτε ὡς οἱ ἁμαρ-
τωλοὶ [ἀλλ᾽ ὑμεῖς οἱ ἁμαρτωλοὶ] σκυλήσεσθε καὶ κρίσις αἰώνιος
6 ἐξ ὑμῶν ἔσται εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων ⋄ [6] μὴ φοβεῖσθε οἱ
δίκαιοι ὅταν ἴδητε τοὺς ἁμαρτωλοὺς κατισχύοντας καὶ εὐοδου-
μένους καὶ μὴ μέτοχοι αὐτῶν γίνεσθε ἀλλὰ μακρὰν ἀπέχεσθε
7 ἀπὸ πάντων τῶν ἀδικημάτων αὐτῶν ⋄ [7] μὴ γὰρ εἴπητε οἱ ἁμαρτω-
8 λοὶ [ὅτι] οὐ μὴ ἐκζητηθῶσιν αἱ ἁμαρτίαι ὑμῶν [ἐξ] ἡμερῶν ⋄ [8] καὶ
νῦν ἀποδεικνύω ὑμῖν ὅτι φῶς καὶ σκότος ἡμέρα καὶ νὺξ ἐποπτεύ-
9 ουσιν τὰς ἁμαρτίας ὑμῶν πάσας ⋄ [9] μὴ πλανᾶσθε τῇ καρδίᾳ ὑμῶν
μηδὲ ψεύδεσθε μηδὲ ἐξαλλοιώσητε τοὺς λόγους τῆς ἀληθείας μη-
δὲ καταψεύδεσθε τῶν [λόγων τοῦ] ἁγίου καὶ μὴ δότε ἔπαινον ταῖς
[εἰκόσιν ὑ]μῶν οὐ γὰρ εἰς δικαίωμα εἰσάγ[ουσιν πάντα τὰ ψεύδ]η
10 καὶ πᾶσα [ἡ πλάνη] . . . ⋄ [10] τῆς ἀληθείας ἐξαλλοιοῦσιν καὶ ἀν-
τιγράφουσιν οἱ ἁμαρτωλοὶ καὶ ἀλλάσσουσιν τοὺς πολλοὺς καὶ
ψεύδονται καὶ πλάσσουσιν πλάσματα μεγάλα καὶ τὰς γραφὰς ἀ-
11 ναγράφουσιν ἐπὶ τοῖς ὀνόμασιν αὐτῶν ⋄ [11] καὶ ὄφελον πάντας τοὺς
λόγους μου γράφωσιν ἐπ᾽ ἀληθείας ἐπὶ τὰ ὀνόματα αὐτῶν καὶ
μήτε ἀφέλωσιν μήτε ἀλλοιώσωσιν τῶν λόγων τούτων ἀλλὰ πάντα
12 ἐπ᾽ ἀληθείας γράφωσιν ἃ ἐγὼ διαμαρτυροῦμαι αὐτοῖς ⋄ [12] καὶ πά-
λιν ἐγὼ γινώσκω μυστήριον δεύτερον ὅτι δικαίοις καὶ ὁσίοις καὶ
13 φρονίμοις δοθήσονται αἱ βίβλοι μου εἰς χαρὰν ἀληθείας ⋄ [13] καὶ
αὐτοὶ πιστεύσουσιν αὐταῖς καὶ ἐν αὐταῖς χαρήσονται καὶ ἀγαλ-
λιάσονται πάντες οἱ δίκαιοι μαθεῖν ἐξ αὐτῶν πάσας τὰς ὁδοὺς τῆς
ἀληθείας ⋄

**106** [1] μετὰ δὲ χρόνον ἔλαβεν μαθουσάλεκ τῷ υἱῷ μου γυναῖκα καὶ
ἔτεκεν υἱὸν καὶ ἐκάλεσεν τὸ ὄνομα αὐτοῦ λάμεχ ἐταπεινώθη ἡ δι-
καιοσύνη μέχρι τῆς ἡμέρας ἐκείνης καὶ ὅτε εἰς ἡλικίαν ἐπῆλθεν
2 ἔλαβεν αὐτῷ γυναῖκα καὶ ἔτεκεν αὐτῷ παιδίον ⋄ [2] καὶ ὅτε ἐγεννήθη
τὸ παιδίον ἦν τὸ σῶμα λευκότερον χιόνος καὶ πυρρότερον ῥόδου
τὸ τρίχωμα πᾶν λευκὸν καὶ ὡς ἔρια λευκὰ καὶ οὖλον καὶ ἔνδοξον
καὶ ὅτε ἀνέῳξεν τοὺς ὀφθαλμοὺς ἔλαμψεν ἡ οἰκία ὡσεὶ ἥλιος ⋄
3 [3] καὶ ἀνέστη ἐκ τῶν χειρῶν τῆς μαίας καὶ ἀνέῳξεν τὸ στόμα καὶ
4 εὐλόγησεν τῷ κυρίῳ ⋄ [4] καὶ ἐφοβήθη λάμεχ ἀπ᾽ αὐτοῦ καὶ ἔφυγεν
καὶ ἦλθεν πρὸς μαθουσάλεκ τὸν πατέρα αὐτοῦ καὶ εἶπεν αὐτῷ ⋄

[5]τέκνον ἐγεννήθη μου ἀλλοῖον οὐχ ὅμοιον τοῖς ἀνθρώποις ἀλλὰ 5
τοῖς τέκνοις τῶν ἀγγέλων τοῦ οὐρανοῦ καὶ ὁ τύπος ἀλλοιότερος
οὐχ ὅμοιος ἡμῖν τὰ ὄμματά ἐστιν ὡς ἀκτῖνες τοῦ ἡλίου καὶ ἔνδο-
ξον τὸ πρόσωπον ⬦ [6]καὶ ὑπολαμβάνω ὅτι οὐκ ἔστιν ἐξ ἐμοῦ ἀλλὰ ἐξ 6
ἀγγέλου καὶ εὐλαβοῦμαι αὐτὸν μήποτέ τι ἔσται ἐν ταῖς ἡμέραις
αὐτοῦ ἐν τῇ γῇ ⬦ [7]καὶ παραιτοῦμαι π[άτερ καὶ] δέομαι βάδισον 7
πρὸς ἐνὼ[χ τὸν πατέρα ἡμῶν καὶ ἐρώτησον] . . . ⬦ [8][ἦλθ]εν πρὸς 8
ἐμὲ εἰς τὰ τέρματα τῆς γῆς οὗ [εἶδ]εν τότε εἶναι με καὶ εἶπέν μοι
πάτερ [μου] ἐπάκουσον τῆς φωνῆς μου καὶ ἦκε [πρὸς] ἐμὲ καὶ
ἤκουσα τὴν φωνὴν αὐτοῦ καὶ ἦλθον πρὸς αὐτὸν καὶ εἶπα ἰδοὺ
πάρειμι τέκνον διὰ τί ἐλήλυθας πρὸς ἐμὲ τέκνον ⬦ [9]καὶ ἀπεκρίθη 9
λέγων δι᾽ ἀνάγκην μεγάλην ἦλθον ὧδε πάτερ ⬦ [10]καὶ νῦν ἐγεννήθη 10
τέκνον λάμεχ τῷ υἱῷ μου καὶ ὁ τύπος αὐτοῦ καὶ ἡ εἰκὼν αὐτοῦ
οὐχ ὅμοιος ἀνθρώποις καὶ τὸ χρῶμα αὐτοῦ λευκότερον χιόνος
καὶ πυρρότερον ῥόδου καὶ τὸ τρίχωμα τῆς κεφαλῆς αὐτοῦ λευ-
κότερον ἐρίων λευκῶν καὶ τὰ ὄμματα αὐτοῦ ἀφόμοια ταῖς τοῦ ἡ-
λίου ἀκτῖσιν ⬦ [11]καὶ ἀνέστη ἀπὸ τῶν τῆς μαίας χειρῶν καὶ ἀνοίξας 11
τὸ στόμα εὐλόγησεν τὸν κύριον τοῦ αἰῶνος ⬦ [12]καὶ ἐφοβήθη ὁ υἱός 12
μου λάμεχ καὶ ἔφυγεν πρὸς ἐμὲ καὶ οὐ πιστεύει ὅτι υἱὸς αὐτοῦ
ἐστιν ἀλλὰ ὅτι ἐξ ἀγγέλων . . . τὴν ἀκρίβειαν ἣν ἔχεις καὶ τὴν ἀλή-
θειαν ⬦ [13]τότε ἀπεκρίθην λέγων ἀνακαινίσει ὁ κύριος πρόσταγμα 13
ἐπὶ τῆς γῆς καὶ τὸν αὐτὸν τρόπον τέκνον τεθέαμαι καὶ ἐσήμανά
σοι ἐν γὰρ τῇ γενεᾷ ἰάρεδ τοῦ πατρός μου παρέβησαν τὸν λόγον
κυρίου ἀπὸ τῆς διαθήκης τοῦ οὐρανοῦ ⬦ [14]καὶ ἰδοὺ ἁμαρτάνουσιν 14
καὶ παραβαίνουσιν τὸ ἔθος καὶ μετὰ γυναικῶν συγγίνονται καὶ
μετ᾽ αὐτῶν ἁμαρτάνουσιν καὶ ἔγημαν ἐξ αὐτῶν καὶ τίκτουσιν οὐχ
ὁμοίους πνεύμασιν ἀλλὰ σαρκίνους ⬦ [15]καὶ ἔσται ὀργὴ μεγάλη 15
ἐπὶ τῆς γῆς καὶ κατακλυσμὸς καὶ ἔσται ἀπώλεια μεγάλη ἐπὶ ἐ-
νιαυτὸν ἕνα ⬦ [16]καὶ τόδε τὸ παιδίον τὸ γεννηθὲν καταλειφθήσεται 16
καὶ τρία αὐτοῦ τέκνα σωθήσεται ἀποθανόντων τῶν ἐπὶ τῆς γῆς ⬦
[17]καὶ πραΰνεῖ τὴν γῆν ἀπὸ τῆς οὔσης ἐν αὐτῇ φθορᾶς ⬦ [18]καὶ νῦν 17, 18
λέγε λάμεχ ὅτι τέκνον σου ἐστὶν δικαίως καὶ ὁσίως [καὶ] κάλεσον
αὐτοῦ τὸ ὄνομα [νῶε] αὐτὸς γὰρ ἔσται ὑμῶν κατάλειμμα ἐφ᾽ οὗ
ἂν καταπαύσητε καὶ οἱ υἱοὶ αὐτοῦ ἀπὸ τῆς φθορᾶς τῆς γῆς καὶ
ἀπὸ πάντων τῶν ἁμαρτωλῶν καὶ ἀπὸ πασῶν τῶν συντελειῶν ἐπὶ
τῆς γῆς . . . ⬦ [19]ὑπέδειξέν μοι καὶ ἐμήνυσεν καὶ ἐν ταῖς πλαξὶν τοῦ 19
οὐρανοῦ ἀνέγνων αὐτά ⬦

[1]τότε τεθέαμαι τὰ ἐγγεγραμμένα ἐπ᾽ αὐτῶν ὅτι γενεὰ γενεᾶς **107**
κακ[ίων ἔσται] καὶ εἶδον τόδε μέχρις τοῦ ἀνασ[τῆναι] γενεὰν δι-
καιοσύνης καὶ ἡ κακία ἀπολεῖται καὶ ἡ ἁμαρτία ἀλλάξει ἀπὸ

2 τῆς γῆς καὶ τὰ ἀγαθὰ ἥξει ἐπὶ τῆς γῆς ἐπ᾽ αὐτούς ⋄ [2] καὶ νῦν ἀ-
πότρεχε τέκνον καὶ σήμανον λάμεχ τῷ υἱῷ σου ὅτι τὸ παιδίον
τοῦτο τὸ γεννηθὲν τέκνον αὐτοῦ ἐστιν δικαίως καὶ οὐ ψευδῶς ⋄
3 [3] καὶ ὅτε ἤκουσεν μαθουσάλεκ τοὺς λόγους ἑνὼχ τοῦ πατρὸς αὐ-
τοῦ μυστηριακῶς γὰρ ἐδήλωσεν αὐτῷ [ἐπέστρεψεν καὶ ἐδήλωσεν
αὐτῷ] καὶ ἐκλήθη τὸ ὄνομα αὐτοῦ νῶε εὐφραίνων τὴν γῆν ἀπὸ
τῆς ἀπωλείας ⋄

## Syncellus Fragments

**6** ɔεκ τοῦ πρώτου βιβλίου ἐνὼχ περὶ τῶν ἐγρηγόρων καὶ ἐγένετο
2 ὅτε ἐγεννήθησαν αὐτοις θυγατέρες ὡραῖαι ⋄ [2] καὶ ἐπεθύμησαν
αὐτάς οἱ ἐγρήγοροι καὶ εἶπον πρὸς ἀλλήλους ἐκλεξώμεθα ἑ-
3 αυτοῖς γυναῖκας ἀπὸ τῶν θυγατέρων τῶν ἀνθρώπων τῆς γῆς ⋄ [3] καὶ
εἶπε σεμιαζᾶς ὁ ἄρχων αὐτῶν πρὸς αὐτοὺς φοβοῦμαι μὴ οὐ θε-
λήσετε ποιῆσαι τὸ πρᾶγμα τοῦτο καὶ ἔσομαι ἐγὼ μόνος ὀφειλέτης
4 ἁμαρτίας μεγάλης ⋄ [4] καὶ ἀπεκρίθησαν αὐτῷ πάντες καὶ εἶπον ὀ-
μόσωμεν ἅπαντες ὅρκῳ καὶ ἀναθεματίσωμεν πάντες ἀλλήλους
τοῦ μὴ ἀποστρέψαι τὴν γνώμην ταύτην μέχρις οὗ ἂν τελέσωμεν
5, 6 αὐτὴν ⋄ [5] πάντες ὤμοσαν ὁμοῦ καὶ ἀνεθεμάτισαν ἀλλήλους ⋄ [6] ἦ-
σαν δὲ οὗτοι διακόσιοι οἱ καταβάντες ἐν ταῖς ἡμέραις ἰάρεδ εἰς
τὴν κορυφὴν τοῦ ἑρμονιεὶμ ὄρους καὶ ἐκάλεσαν τὸ ὄρος ἑρμώμ
7 καθότι ὤμοσαν καὶ ἀνεθεμάτισαν ἀλλήλους ἐν αὐτῷ ⋄ [7] καὶ ταῦτα
τὰ ὀνόματα τῶν ἀρχόντων αὐτῶν α´ σεμιαζᾶς ὁ ἄρχων αὐτῶν β´
ἀταρκοὺφ γ´ ἀρακιὴλ δ´ χωβαβιὴλ ε´ ὁραμμαμὴ ϛ´ ῥαμιὴλ ζ´ σαμ-
ψὶχ η´ ζακιὴλ θ´ βαλκιὴλ ι´ ἀζαλζὴλ ια´ φαρμαρὸς ιβ´ ἀμαριὴλ ιγ´
ἀναγημὰς ιδ´ θαυσαὴλ ιε´ σαμιὴλ ιϛ´ σαρινᾶς ιζ´ εὐμιὴλ ιη´ τυριὴλ
ιθ´ ἰουμιὴλ κ´ σαριὴλ ⋄
**7** [1] οὗτοι καὶ οἱ λοιποὶ πάντες ἐν τῷ χιλιοστῷ ἑκατοστῷ ἑβδο-
μηκοστῷ ἔτει τοῦ κόσμου ἔλαβον ἑαυτοῖς γυναῖκες καὶ ἤρξαντο
2 μιαίνεσθαι ἐν αὐταῖς ἕως τοῦ κατακλυσμοῦ ⋄ [2] καὶ ἔτεκον αὐτοῖς
γένη τρία πρῶτον γίγαντας μεγάλους οἱ δε γίγαντες ἐτέκνωσαν
ναφηλεὶμ καὶ τοῖς ναφελεὶμ ἐγεννήθησαν ἐλιούδ καὶ ἦσαν αὐ-
ξανόμενοι κατὰ τὴν μεγαλειότητα αὐτῶν καὶ ἐδίδαξαν [ἑαυτοὺς
καὶ] τὰς γυναῖκας ἑαυτῶν φαρμακείας καὶ ἐπαοιδάς ⋄
**8** [1] πρῶτος ἀζαὴλ ὁ δέκατος τῶν ἀρχόντων ἐδίδαξε ποιεῖν μαχαί-
ρας καὶ θώρακας καὶ πᾶν σκεῦος πολεμικὸν καὶ τὰ μέταλλα τῆς
γῆς καὶ τὸ χρυσίον πῶς ἐργάσωνται καὶ ποιήσωσιν αὐτὰ κόσμια
ταῖς γυναιξὶ καὶ τὸν ἄργυρον ἔδειξε δὲ αὐτοῖς καὶ τὸ στίλβειν καὶ
τὸ καλλωπίζειν καὶ τοὺς ἐκλεκτοὺς λίθους καὶ τὰ βαφικὰ καὶ ἐ-
ποίησαν ἑαυτοῖς οἱ υἱοὶ τῶν ἀνθρώπων καὶ ταῖς θυγατράσιν αὐτῶν

καὶ παρέβησαν καὶ ἐπλάνησαν τοὺς ἁγίους ⋄
[2] καὶ ἐγένετο ἀσέβεια πολλὴ ἐπὶ τῆς γῆς καὶ ἠφάνισαν τὰς **7**
ὁδοὺς αὐτῶν ⋄ [3] ἔτι δὲ καὶ ὁ πρώταρχος αὐτῶν σεμιαζᾶς ἐδίδα- 3
ξεν εἶναι ὀργὰς κατὰ τοῦ νοὸς καὶ ῥίζας βοτανῶν τῆς γῆς ὁ δὲ
ἑνδέκατος φαρμαρὸς ἐδίδαξε φαρμακείας ἐπαοιδάς σοφίας καὶ
ἐπαοιδῶν λυτήρια βαρακιὴλ ἀστρολογίας ὁ δὲ τρίτος ἐδίδαξε τὰ
σημεῖα τῆς γῆς ὁ δὲ ἕβδομος ἐδίδαξε τὰ σημεῖα τοῦ ἡλίου ὁ δὲ
εἰκοστὸς ἐδίδαξε τὰ σημεῖα τῆς σελήνης πάντες οὗτοι ἤρξαντο
ἀνακαλύπτειν τὰ μυστήρια ταῖς γυναιξὶν αὐτῶν καὶ τοῖς τέκνοις
αὐτῶν μετὰ δὲ ταῦτα ἤρξαντο οἱ γίγαντες κατεσθίειν τὰς σάρκας
τῶν ἀνθρώπων ⋄ [4] καὶ ἤρξαντο οἱ ἄνθρωποι ἐλαττοῦσθαι ἐπὶ τῆς 4
γῆς οἱ δὲ λοιποὶ ἐβόησαν εἰς τὸν οὐρανὸν περὶ τῆς κακώσεως
αὐτῶν λέγοντες εἰσενεχθῆναι τὸ μνημόσυνον αὐτῶν ἐνώπιον κυ-
ρίου ⋄
[1] καὶ ἀκούσαντες οἱ τέσσαρες μεγάλοι ἀρχάγγελοι μιχαὴλ καὶ **8**
οὐριὴλ καὶ ῥαφαὴλ καὶ γαβριὴλ παρέκυψαν ἐπὶ τὴν γῆν ἐκ τῶν
ἁγίων τοῦ οὐρανοῦ ⋄ [2] καὶ θεασάμενοι αἷμα πολὺ ἐκκεχυμένον ἐ- 2
πὶ τῆς γῆς καὶ πᾶσαν ἀνομίαν καὶ ἀσέβειαν γινομένην ἐπ αὐτῆς ⋄
[3] εἰσελθόντες εἶπον πρὸς ἀλλήλους ὅτι τὰ πνεύματα καὶ αἱ ψυχαὶ 3
τῶν ἀνθρώπων ἐντυγχάνουσι στενάζοντα καὶ λέγοντα εἰσαγάγετε
τὴν δέησιν ἡμῶν πρὸς τὸν ὕψιστον ⋄ [4] καὶ προσελθόντες οἱ τέσσα- 4
ρες ἀρχάγγελοι εἶπον τῷ κυρίῳ σὺ εἶ ὁ θεὸς τῶν θεῶν καὶ κύριος
τῶν κυρίων καὶ βασιλεὺς τῶν βασιλευόντων καὶ θεὸς τῶν ἀνθρώ-
πων καὶ ὁ θρόνος τῆς δόξης σου εἰς πάσας τὰς γενεὰς τῶν αἰώνων
καὶ τὸ ὄνομά σου ἅγιον καὶ εὐλογημένον εἰς πάντας τοὺς αἰῶνας
καὶ τὸ ὄνομά σου ἅγιον καὶ εὐλογημένον εἰς πάντας τοὺς αἰῶνας
καὶ τὰ ἑξῆς τότε ὁ ὕψιστος ἐκέλευσε τοῖς ἁγίοις ἀρχαγγέλοις καὶ
ἔδησαν τοὺς ἐξάρχους αὐτῶν καὶ ἔβαλ̊ον αὐτοὺς εἰς τὴν ἄβυσσον
ἕως τῆς κρίσεως καὶ τὰ ἑξῆς καὶ ταῦτα μὲν ὁ ἐνὼχ μαρτυρεῖ ⋄
[5] σὺ γὰρ εἶ ὁ ποιήσας τὰ πάντα καὶ πάντων τὴν ἐξουσίαν ἔχων 5
καὶ πάντα ἐνώπιόν σου φανερὰ καὶ ἀκάλυπτα καὶ πάντα ὁρᾷς
καὶ οὐκ ἔστιν ὃ κρυβῆναί σε δύναται ⋄ [6] ὁρᾷς ὅσα ἐποίησεν ἀζα- 6
ὴλ κἀὶ ὅσα εἰσήνεγκεν ὅὅα ἐδίδαξεν ἀδικίας καὶ ἁμαρτίας ἐπὶ
τῆς γῆς καὶ πάντα δόλον ἐπὶ τῆς ξηρᾶς ἐδίδαξε γὰρ τὰ μυστή-
ρια καὶ ἀπεκάλυψε τῷ αἰῶνι τὰ ἐν οὐρανῷ ἐπιτηδεύουσιν δὲ τὰ
ἐπιτηδεύματα αὐτοῦ εἰδέναι τὰ μυστήρια οἱ υἱοὶ τῶν ἀνθρώπων ⋄
[7] τῷ σεμιαζᾷ τὴν ἐξουσίαν ἔδωκας ἔχειν τῶν σὺν αὐτῷ ἅμα ὄν- 7
των ⋄ [8] καὶ ἐπορεύθησαν πρὸς τὰς θυγατέρας τῶν ἀνθρώπων τῆς 8
γῆς καὶ συνεκοιμήθησαν μετ᾽ αὐτῶν καὶ ἐν ταῖς θηλείαις ἐμιάν-

**8. v.4** ἔβαλον ¦ εβαλλον 1711. **v.6** καὶ ¦ ∅ 1711. **v.6** ὅσα ¦ και οσα 1711.

θησαν καὶ ἐδήλωσαν αὐταῖς πάσας τὰς ἁμαρτίας καὶ ἐδίδαξαν
9 αὐτὰς μίσῆτρα ποιεῖν ⬦ [9] καὶ νῦν ἰδοὺ αἱ θυγατέρες τῶν ἀνθρώπων
ἔτεκον ἐξ αὐτῶν υἱοὺς γίγαντας κίβδηλα ἐπὶ ⸢τῆς⸣ γῆς τῶν ἀνθρώ-
10 πων ἐκκέχυται καὶ ὅλη ἡ γῆ ἐπλήσθη ἀδικίας ⬦ [10] καὶ νῦν ἰδοὺ τὰ
πνεύματα τῶν ψυχῶν τῶν ἀποθανόντων ἀνθρώπων ἐντυγχάνου-
σιν καὶ μέχρι τῶν πυλῶν τοῦ οὐρανοῦ ἀνέβη ὁ στεναγμὸς αὐτῶν
καὶ οὐ δύναται ἐξελθεῖν ἀπὸ προσώπου τῶν ἐπὶ τῆς γῆς γινο-
11 μένων ἀδικημάτων ⬦ [11] καὶ σὺ αὐτὰ οἶδας πρὸ τῶν αὐτὰ γενέσθαι
καὶ ὁρᾷς αὐτοὺς καὶ ἐᾷς αὐτούς καὶ οὐδὲν λέγεις τί δεῖ ποιῆσαι
αὐ⸢τοὺς⸣ περὶ τούτου ⬦
**9** [1] τότε ὁ ὕψιστος εἶπε καὶ ὁ ἅγιος ὁ μέγας ἐλάλησε καὶ ἔπεμψε
2 τὸν οὐριὴλ πρὸς τὸν υἱὸν ⸢τοῦ⸣ λάμεχ λέγων ⬦ [2] πορεύου πρὸς τὸν
νῶε καὶ εἶπον αὐτῷ τῷ ἐμῷ ὀνόματι κρύψον σεαυτὸν καὶ δήλωσον
αὐτῷ τέλος ἐπερχόμενον ὅτι ἡ γῆ ἀπόλλυται πᾶσα καὶ εἶπον αὐτῷ
ὅτι κατακλυσμὸς μέλλει γίνεσθαι πάσης τῆς γῆς ἀπολέσαι πάντα
3 ἀπὸ προσώπου τῆς γῆς ⬦ [3] δίδαξον τὸν δίκαιον τί ποιήσει τὸν υἱὸν
λάμεχ καὶ τὴν ψυχὴν αὐτοῦ εἰς ζωὴν συντηρήσει καὶ ἐκφεύξεται
δι᾽ αἰῶνος καὶ ἐξ αὐτοῦ φυτευθήσεται φύτευμα καὶ σταθήσεται
4 πάσας τὰς γενεὰς τοῦ αἰῶνος ⬦ [4] καὶ τῷ ῥαφαὴλ εἶπε πορεύου ῥα-
φαὴλ καὶ δῆσον τὸν ἀζαὴλ χερσὶ καὶ ποσὶ συμπόδισον αὐτὸν καὶ
ἔμβαλε αὐτὸν εἰς τὸ σκότος καὶ ἄνοιξον τὴν ἔρημον τὴν οὖσαν ἐν
5 τῇ ἐρήμῳ δουδαὴλ καὶ ἐκεῖ πορευθεὶς βάλε αὐτόν ⬦ [5] καὶ ὑπόθες
αὐτῷ λίθους ὀξεῖς καὶ λίθους τραχεῖς καὶ ἐπικάλυψον αὐτῷ σκό-
τος καὶ οἰκησάτω ἐκεῖ εἰς τὸν αἰῶνα καὶ τὴν ὄψιν αὐτοῦ πώμασον
6 καὶ φῶς μὴ θεωρείτω ⬦ [6] καὶ ἐν τῇ ἡμέρᾳ τῆς κρίσεως ἀπαχθήσεται
7 εἰς τὸν ἐμπυρισμὸν τοῦ πυρός ⬦ [7] καὶ ἴασαι τὴν γῆν ἣν ἠφάνισαν
οἱ ἐγρήγοροι καὶ τὴν ἴασιν τῆς πληγῆς δήλωσον ἵνα ἰάσωνται τὴν
πληγὴν καὶ μὴ ἀπόλωνται πάντες οἱ υἱοὶ τῶν ἀνθρώπων ἐν τῷ μυ-
στηρίῳ ὃ εἶπον οἱ ἐγρήγοροι καὶ ἐδίδαξαν τοὺς υἱοὺς τῶν ἀνθρώ-
8 πων ⬦ [8] καὶ ἠρημώθη πᾶσα ἡ γῆ ἐν τοῖς ἔργοις τῆς διδασκαλίας
9 ἀζαὴλ καὶ ἐπ᾽ αὐτῇ γράψον πάσας τὰς ἁμαρτίας ⬦ [9] καὶ τῷ γαβριὴλ
εἶπε πορεύου γαβριὴλ ἐπὶ τοὺς γίγαντας ἐπὶ τοὺς κιβδήλους ἐπὶ
τοὺς υἱοὺς τῆς πορνείας καὶ ἀπόλεσαν τοὺς υἱοὺς τῶν ἐγρηγόρων
ἀπὸ τῶν υἱῶν τῶν ἀνθρώπων πέμψον αὐτοὺς εἰς ἀλλήλους ἐξ αὐ-
τῶν εἰς αὐτοὺς ἐν πολέμῳ καὶ ἐν ἀπωλείᾳ καὶ μακρότης ἡμερῶν
10 οὐκ ἔσται αὐτοῖς ⬦ [10] καὶ πᾶσα ἐρώτησις οὐκ ἔστι τοῖς πατράσιν
αὐτῶν ὅτι ἐλπίζουσι ζῆσαι ζωὴν αἰώνιον καὶ ὅτι ζήσεται ἕκαστος
11 αὐτῶν ἔτη πεντακόσια ⬦ [11] καὶ τῷ μιχαὴλ εἶπε πορεύου μιχαὴλ δῆ-
σον σεμιαζᾶν καὶ τοὺς ἄλλους σὺν αὐτῷ τοὺς συμμιγέντας ταῖς

---

**v.8** μίσητρα ¦ μισιτρα 1711. **v.9** τῆς ¦ ∅ (?). **v.11** αὐτοὺς ¦ ∅ (?). **9. v.1** τοῦ ¦ ∅ (?).

θυγατράσι τῶν ἀνθρώπων τοῦ μιανθῆναι ἐν αὐταῖς ἐν τῇ ἀκαθαρ-
σίᾳ αὐτῶν ⬦ [12] καὶ ὅταν κατασφαγῶσιν οἱ υἱοὶ αὐτῶν καὶ ἴδωσι τὴν 12
ἀπώλειαν τῶν ἀγαπητῶν αὐτῶν δῆσον αὐτοὺς ἐπὶ ἑβδομήκοντα
γενεὰς εἰς τὰς νάπας τῆς γῆς μέχρι ἡμέρας κρίσεως αὐτῶν μέχρι
ἡμέρας τελειώσεως τελεσμοῦ ἕως συντελεσθῇ κρίμα τοῦ αἰῶνος
τῶν αἰώνων ⬦ [13] τότε ἀπενεχθήσονται εἰς τὸ χάος τοῦ πυρὸς καὶ εἰς 13
τὴν βάσανον καὶ εἰς τὸ δεσμωτήριον τῆς συγκλείσεως τοῦ αἰῶ-
νος ⬦ [14] καὶ ὃς ἂν κατακρίθῃ καὶ ἀφανισθῇ ἀπὸ τοῦ νῦν μετ᾽ αὐτῶν 14
δεθήσεται μέχρι τελειώσεως γενεᾶς αὐτῶν περὶ δὲ τοῦ ὄρους ἐν
ᾧ ὤμοσαν καὶ ἀνεθεμέτισαν πρὸς τὸν πλησίον αὐτῶν ὅτι εἰς τὸν
αἰῶνα οὐ μὴ ἀποστῇ ἀπ᾽ αὐτοῦ ψῦχος καὶ χιὼν καὶ πάχνη καὶ
δρόσος οὐ μὴ καταβῇ εἰς αὐτὸ εἰ μὴ εἰς κατάραν καταβήσεται ἐπ᾽
αὐτὸ μέχρις ἡμέρας κρίσεως τῆς μεγάλης ἐν τῷ καιρῷ ἐκείνῳ κα-
τακαυθήσεται καὶ ταπεινωθήσεται καὶ ἔσται κατακαιόμενον καὶ
τηκόμενον ὡς κηρὸς ἀπὸ πυρὸς οὕτως κατακαήσεται περὶ πάν-
των τῶν ἔργων αὐτοῦ καὶ νῦν ἐγὼ λέγω ὑμῖν υἱοῖς ἀνθρώπων ὀργὴ
μεγάλη καθ᾽ ὑμῶν καὶ κατὰ τῶν υἱῶν ὑμῶν καὶ οὐ παύσεται ἡ
ὀργὴ αὕτη ἀφ᾽ ὑμῶν μέχρι καιροῦ σφαγῆς τῶν υἱῶν ὑμῶν καὶ
ἀπολοῦνται οἱ ἀγαπητοὶ ὑμῶν καὶ ἀποθανοῦνται οἱ ἔντιμοι ὑμῶν
ἀπὸ πάσης τῆς γῆς ὅτι πᾶσαι αἱ ἡμέραι τῆς ζωῆς αὐτῶν ἀπὸ τοῦ
νῦν οὐ μὴ ἔσονται πλείω τῶν ἑκατὸν εἴκοσιν ἐτῶν καὶ μὴ δόξητε
ἔτι ζῆσαι ἐπὶ πλείονα ἔτη οὐ γάρ ἐστιν ἐπ᾽ αὐτοῖς πᾶσα ὁδὸς ἐκ-
φεύξεως ἀπὸ τοῦ νῦν διὰ τὴν ὀργὴν ἣν ὠργίσθη ὑμῖν ὁ βασιλεὺς
πάντων τῶν αἰώνων μὴ νομίσητε ὅτι ἐκφεύξεσθε ταῦτα ⬦

[8] καὶ νῦν οἱ γίγαντες οἱ γεννηθέντες ἀπὸ πνευμάτων καὶ σαρ- **15**
κὸς πνεύματα πονηρὰ ἐπὶ τῆς γῆς καλέσουσιν αὐτοὺς ὅτι ἡ κα-
τοίκησις αὐτῶν ἔσται ἐπὶ τῆς γῆς ⬦ [9] πνεύματα πονηρὰ ἔσονται τὰ 9
πνεύματα ἐξεληλυθότα ἀπὸ τοῦ σώματος τῆς σαρκὸς αὐτῶν διότι
ἀπὸ τῶν ἀνθρώπων ἐγένοντο καὶ ἐκ τῶν ἁγίων τῶν ἐγρηγόρων ἡ
ἀρχὴ τῆς κτίσεως αὐτῶν καὶ ἀρχὴ θεμελίου πνεύματα πονηρὰ ⬦
[10] ἐπὶ τῆς γῆς ἔσονται ⬦ [11] τὰ πνεύματα τῶν γιγάντων νεμόμενα ἀδι- 10, 11
κοῦντα ἀφανίζοντα ἐμπίπτοντα καὶ συμπαλαίοντα καὶ ῥιπτοῦντα
ἐπὶ τῆς γῆς καὶ δρόμους ποιοῦντα καὶ μηδὲν ἐσθίοντα ἀλλ᾽ ἀ-
σιτοῦντα καὶ ῥιπτοῦντα καὶ φάσματα ποιοῦντα καὶ διψῶντα καὶ
προσκόπτοντα ⬦ [12] καὶ ἐξαναστήσονται τὰ πνεύματα ἐπὶ τοὺς υἱοὺς 12
τῶν ἀνθρώπων καὶ τῶν γυναικῶν ὅτι ἐξ αὐτῶν ἐξεληλύθασι ⬦

[1] καὶ ἀπὸ ἡμέρας καιροῦ σφαγῆς καὶ ἀπωλείας καὶ θανάτου **16**
τῶν γιγάντων ναφηλεὶμ οἱ ἰσχυροὶ τῆς γῆς οἱ μεγάλοι ὀνομαστοὶ
τὰ πνεύματα τὰ ἐκπορευόμενα ἀπὸ τῆς ψυχῆς αὐτῶν ὡς ἐκ τῆς

---

**v.14** δεθήσεται ¦ δεηθησεται 1711.

σαρκὸς ἔσονται ἀφανίζοντα χωρὶς κρίσεως οὕτως ἀφανίσουσι μέ-
χρις ἡμέρας τῆς τελειώσεως ἕως τῆς κρίσεως τῆς μεγάλης ἐν ᾗ° ὁ
αἰὼν ὁ μέγας τελεσθήσεται ⋄
**20**, 3 [2] ὁ εἷς τῶν ἁγίων ὁ ἐπὶ τοῦ κόσμου καὶ τοῦ ταρτάρου ⋄ [3] ῥαφα-
ὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τῶν πνευμάτων τῶν ἀνθρώπων ⋄
4 [4] ῥαγουὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐκδικῶν τὸν κόσμον τῶν
5 φωστήρων ⋄ [5] μιχαὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃς ἐπὶ τῶν τοῦ λαοῦ
6 ἀγαθῶν τέτακται καὶ ἐπὶ τῷ χαῷ ⋄ [6] σαριὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέ-
λων ὁ ἐπὶ τῶν πνευμάτων οἵτινες ἐπὶ τῷ πνεύματι ἁμαρτάνουσιν ⋄
7 [7] γαβριὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ ἐπὶ τοῦ παραδείσου καὶ τῶν
δρακόντων καὶ χερουβὶν ῥεμειὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὃν ἔ-
ταξεν ὁ θεὸς ἐπὶ τῶν ἀνισταμένων ὀνόματα ζ' ἀρχαγγέλων ⋄
**21**, 2 [1] καὶ ἐφώδευσα μέχρι τῆς ἀκατασκευάστου ⋄ [2] καὶ ἐκεῖ ἐθεασά-
μην ἔργον φοβερὸν ἑώρακα οὔτε οὐρανὸν ἐπάνω οὔτε γῆν τεθε-
3 μελιωμένην ἀλλὰ τόπον ἀκατασκεύαστον καὶ φοβερόν ⋄ [3] καὶ ἐ-
κεῖ τεθέαμαι ζ' ἀστέρας τοῦ οὐρανοῦ δεδεμένους καὶ ἐριμμένους
ἐν αὐτῷ ὁμοῦ ὁμοίους ὁράσει μεγάλῃ καὶ ἐν πυρὶ καιομένους ⋄
4 [4] τότε εἶπον διὰ ποίαν αἰτίαν ἐπεδέθησαν καὶ διὰ ποίαν αἰτίαν ἐ-
5 ρίφησαν ὧδε ⋄ [5] καὶ εἶπέν μοι οὐριὴλ ὁ εἷς τῶν ἁγίων ἀγγέλων ὁ
μετ' ἐμοῦ ὤν καὶ αὐτὸς αὐτῶν ἡγεῖτο καὶ εἶπέν μοι ἐνὼχ περὶ τί-
6 νος ἐρωτᾷς ἢ περὶ τίνος τὴν ἀλήθειαν φιλοσπευδεῖς ⋄ [6] οὗτοί εἰσιν
τῶν ἀστέρων τοῦ οὐρανοῦ οἱ παραβάντες τὴν ἐπιταγὴν τοῦ κυ-
ρίου καὶ ἐδέθησαν ὧδε μέχρι πληρωθῆναι μύρια ἔτη τὸν χρόνον
7 τῶν ἁμαρτημάτων αὐτῶν ⋄ [7] κἀκεῖθεν ἐφώδευσα εἰς ἄλλον τόπον
τούτου φοβερώτερον καὶ τεθέαμαι ἔργα φοβερὰ πῦρ μέγα ἐκεῖ
καιόμενον καὶ φλεγόμενον καὶ διακοπὴν εἶχεν ὁ τόπος ἕως τῆς
ἀβύσσου πλήρης στύλων πυρὸς μεγάλων καταφερομένων οὔτε
8 μέτρον οὔτε μέγεθος ἠδυνήθην ἰδεῖν οὔτε εἰκάσαι ⋄ [8] τότε εἶπον
9 ὡς φοβερὸς ὁ τόπος οὗτος καὶ ὡς δεινὸς τῇ ὁράσει ⋄ [9] τότε ἀπε-
κρίθη μοι καὶ εἶπεν . . . ⋄

## Insert.

**22** [1] παρὰ δὲ τοῦ ὄρους ἐν ᾧ ὤμοσαν καὶ ἀνεθεμάτισαν πρὸς τὸν
πλησίον αὐτῶν ὅτι εἰς τὸν αἰῶνα οὐ μὴ ἀποστῇ ἀπ' αὐτοῦ ψῦχος
καὶ χιὼν καὶ πάχνη καὶ δρόσος οὐ μὴ καταβῇ εἰς αὐτὸ εἰ μὴ εἰς
κατάραν καταβήσεται ἐπ' αὐτὸ μέχρις ἡμέρας κρίσεως τῆς με-
2 γάλης ⋄ [2] ἐν τῷ καιρῷ ἐκείνῳ κατακαυθήσεται καὶ ταπεινωθήσεται
καὶ ἔσται κατακαιόμενον καὶ τηκόμενον ὡς κηρὸς ἀπὸ πυρὸς
3 οὕτως κατακαήσεται περὶ πάντων τῶν ἔργων αὐτοῦ ⋄ [3] καὶ νῦν ἐ-
γὼ λέγω ὑμῖν υἱοῖς ἀνθρώπων ὀργὴ μεγάλη καθ ὑμῶν κατὰ τῶν

---

**16. v.1** ᾗ ¦ ᾧ 1711.

υἱῶν ὑμῶν καὶ οὐ παύσεται ἡ ὀργὴ αὕτη ἀφ᾽ ὑμῶν μέχρι καιροῦ
σφαγῆς τῶν υἱῶν ὑμῶν ⟐ 4 καὶ ἀπολοῦνται οἱ ἀγαπητοὶ ὑμῶν καὶ 4
ἀποθανοῦνται οἱ ἔντιμοι ὑμῶν ἀπὸ πάσης τῆς γῆς ὅτι πᾶσαι αἱ
ἡμέραι τῆς ζωῆς αὐτῶν ἀπὸ τοῦ νῦν οὐ μὴ ἔσονται πλείω τῶν
ἑκατὸν εἴκοσιν ἐτῶν ⟐ 5 καὶ μὴ δόξητε ἔτι ζῆσαι ἐπὶ πλείονα ἔτη 5
οὐ γάρ ἐστιν ἐπ᾽ αὐτοῖς πᾶσα ὁδὸς ἐκφεύξεως ἀπὸ τοῦ νῦν διὰ
τὴν ὀργὴν ἣν ὠργίσθη ὑμῖν ὁ βασιλεὺς πάντων τῶν αἰώνων μὴ
νομίσητε ὅτι ἐκφεύξεσθε ταῦτα ⟐